1 τοῦ γενικωτάτου ALMa Boeth. El. Dav. τῶν γενικωτάτων BC τε om. C Dav. εἴδη καὶ ὑπάλληλα γένη ABCLM Boeth. El. Dav.: εἴδη ὑπάλληλα a 2 ὁ erasum L Πελωπίδης L 4 post γενῶν rasura 12 litter. L τῶν (ante εἰδῶν) om. a 5 ἓν om. a: add. ABCLM Boeth. ἁπάντων C 5. 6 ὁμονογενῆ B 6 ἀνώτατον C ὥς φησιν ὁ Ἀριστ.] Metaph. II, 3 p. 998 b 22 ὁ om. a 7 δέκα post γένη transp. M 8 ante ὄντα add. ὡς M: om. ABCLMa Boeth. καλῇ] καλέση B φησί,—συνωνύμως om. B (suppl. mrg.[2]) ἀλλ' om. A: exhib. BCLMa Boeth. 9 ἓν om. A: ἓν ἦν κοι— in ras. IV litt. L[3] κοινὸν] καλὸν B ἦν post κοινὸν transp. a γένος πάντων colloc. CMa 10 τὴν κοινωνίαν B 10. 11 κατοὔνομα utrobique A: priore loco L: altero B 11 οὐκέτι] οὐ a 12 post τινι add. ἐστιν M: εἰσιν a: om. ABCL El. μὴν CLMA El.: μὴν δ' A: μὴν δι' B: an μήν γ' ? 13 ἐστὶ τὰ LMa: ἦν BC: ἐστὶ A El. ἄχρι ABCL El. Dav.: μέχρι Ma 14 κατιόντας ACLMa: κατιόντα B Boeth. El. παρεκελεύετο ABLMa Dav.: παρακελεύεται B Boeth. ὁ om. C ὁ Πλάτων] cf. Phileb. p. 16 C, Polit. p. 262 A.B.C, Sophist. p. 266 A.B 15 διαιροῦντας ACLMa El. Dav.: διαιροῦντα B Boeth. 16 μὴ ACLM Dav.: μηδὲ Ba post ἂν add. ποτε C: om. ABLMa Boeth. 16 et 18 κατιόντων—ἀνιόντων ABCLM El. Dav.: κατιόντας—ἀνιόντας a Amm. 18 συναιρεῖν] διαιρεῖν Dav. (?) εἰς ἓν om. El. Dav. Boeth. (?) 20 καθ' ἕκαστα ABCLa: καθ' ἕκαστον M Dav. διαιρεῖται B 21 κατὰ γὰρ τὸ εἶδος οἱ πολλοὶ ἄνθρωποι εἷς εἰσιν, κατὰ δὲ τὰ ἄτομα ὁ εἷς πλειόνές εἰσιν Dav. 22 post μέρος add. καὶ καθ' ἕκαστα a: om. ABCLM Boeth. κοινῶς B ἀεὶ om. a 24 δὲ ABLMa Amm. Dav. Boeth.: τοίνυν C ἐστιν ἑκάτερον αὐτῶν om. B ἐστιν om. CL: exhib. AMa αὐτῶν om. CM Boeth. exhib. ALa

καὶ τοῦ μὲν γένους ἑνὸς ὄντος τῶν δὲ εἰδῶν πλειόνων (ἀεὶ γὰρ εἰς πλείω [2b] εἴδη ἡ τομὴ τοῦ γένους) τὸ μὲν γένος ἀεὶ τοῦ εἴδους κατηγορεῖται καὶ πάντα τὰ ἐπάνω τῶν ὑποκάτω, τὸ δὲ εἶδος οὔτε τοῦ προσεχοῦς αὐτοῦ γένους οὔτε τῶν ἐπάνω· οὐδὲ γὰρ ἀντιστρέφει. δεῖ γὰρ ἢ τὰ ἴσα τῶν ἴσων κατηγορεῖσθαι ὡς τὸ χρεμετιστικὸν τοῦ ἵππου ἢ τὰ μείζω τῶν ἐλαττόνων ὡς τὸ ζῷον τοῦ ἀνθρώπου, τὰ δὲ ἐλάττω τῶν μειζόνων οὐκέτι· οὐκέτι γὰρ τὸ ζῷον εἴποις ἂν εἶναι ἄνθρωπον, ὥσπερ τὸν ἄνθρωπον εἴποις ἂν εἶναι ζῷον. καθ' ὧν δ' ἂν τὸ εἶδος κατηγορῆται, κατ' ἐκείνων ἐξ ἀνάγκης καὶ τὸ τοῦ εἴδους γένος κατηγορηθήσεται καὶ τὸ τοῦ γένους γένος ἄχρι τοῦ γενικωτάτου· εἰ γὰρ ἀληθὲς τὸ τὸν Σωκράτην εἰπεῖν ἄνθρωπον, τὸν δὲ ἄνθρωπον ζῷον, τὸ δὲ ζῷον οὐσίαν· ἀληθὲς καὶ τὸν Σωκράτην ζῷον εἰπεῖν καὶ οὐσίαν. ἀεὶ οὖν τῶν ἐπάνω κατηγορουμένων τῶν ὑποκάτω τὸ μὲν εἶδος τοῦ ἀτόμου κατηγορηθήσεται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου, τὸ δὲ γενικώτατον καὶ κατὰ τοῦ γένους ἢ τῶν γενῶν, εἰ πλείω εἴη τὰ μέσα καὶ ὑπάλληλα, καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου. λέγεται γὰρ τὸ μὲν γενικώτατον κατὰ πάντων τῶν ὑφ' ἑαυτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων, τὸ δὲ γένος τὸ πρὸ τοῦ εἰδικωτάτου κατὰ πάντων τῶν εἰδικωτάτων καὶ τῶν ἀτόμων, τὸ δὲ μόνον εἶδος κατὰ πάντων τῶν ἀτόμων, τὸ δὲ ἄτομον ἐφ' ἑνὸς μόνου τῶν κατὰ μέρος. ἄτομον δὲ λέγεται ὁ Σωκράτης καὶ τουτὶ τὸ λευκὸν καὶ οὑτοσὶ ὁ προσιὼν Σωφρονίσκου υἱός, εἰ μόνος αὐτῷ εἴη Σωκράτης υἱός. ἄτομα οὖν λέγεται τὰ τοιαῦτα, ὅτι ἐξ ἰδιοτήτων συνέστηκεν | ἕκαστον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' [3a] ἄλλου ποτὲ τὸ αὐτὸ γένοιτο· αἱ γὰρ Σωκράτους ἰδιότητες οὐκ ἂν ἐπ' ἄλλου τινὸς τῶν κατὰ μέρος γένοιντο ἂν αἱ αὐταί, αἱ μέντοι τοῦ ἀνθρώπου, λέγω δὴ τοῦ κοινοῦ, ἰδιότητες γένοιντ' ἂν αἱ αὐταὶ ἐπὶ πλειόνων, μᾶλλον δὲ ἐπὶ πάντων τῶν κατὰ μέρος ἀνθρώπων, καθὸ ἄνθρωποι. περιέχεται οὖν τὸ μὲν ἄτομον ὑπὸ τοῦ εἴδους, τὸ δὲ εἶδος ὑπὸ τοῦ

2 post εἴδη add. διαιρεῖται L[3] post μὲν add. γὰρ M: om. ABCLMa Boeth. ante εἴδους ras. V fere litt. L 3 προσεχῶς a 4 οὔτε BCLMa: οὐδὲ A post ἀντιστρέφει add. τὰ εἴδη L: om. ABCMa Boeth. 4. 5 δεῖ γὰρ — κατηγορεῖσθαι ABLMa Boeth.: ἀεὶ δὲ — κατηγορεῖται C 4 ἢ om. M Boeth. 5 τοῦ om. AL: add. BCMa 7 τὸ om. M εἴποι M[1] 8 δ' ἂν libri: γὰρ Amm. κατηγορῆται A[3]BCM[2]a: κατηγορεῖται A[1]LM[1] Amm. 8. 9 ἐξ ἀνάγκης post γένος transp. a 9 τὸ (ante τοῦ γένους) iter. M 10 εἰπεῖν post ἄνθρωπον transp. CM 12 οὖν codd. Boeth.: γὰρ a post εἶδος add. κατὰ Ma: om. ABCL 14 καὶ iter. B εἰ] ἢ B 15 post ἀτόμου add. κατηγορηθήσεται C: om. ABLMa Boeth. 18 τῶν (ante ἀτόμων) om. ACa: exhib. BLM 19 post ἀτόμων add. οἷον ἄνθρωπος C: om. ABLMa Boeth. post μέρος add. ἀτόμων C: om. ABLMa Boeth. 20 ante Σωφρονίσκου add. ὁ B: om. ACLMa 21 μόνος CL[3]Ma Boeth.: μόνῳ AB Dav. et fort. L[1] οὖν codd. Boeth.: δὲ a 22 ἐξ om. C (suppl. m.[2]) post ἄλλου add. τινὸς ACM: om. BLa Boeth. 23 τὸ om. B post γένοιτο add. τῶν κατὰ μέρος AC: om. BLMa Boeth. 23. 24 ἐπ' ἄλλου γένοιντο τῶν κατὰ μέρος (τινὸς om.) colloc. M 24 ἂν αἱ αὐταὶ om. M Boeth.: exhib. ABCLa Amm. comm. 25. 26 αἱ αὐταὶ post πλειόνων transpos. M 27 ante οὖν add. μὲν B: om. ACLMa

γένους· ὅλον γάρ τι τὸ γένος, τὸ δὲ ἄτομον μέρος, τὸ δὲ εἶδος καὶ ὅλον 3a καὶ μέρος, ἀλλὰ μέρος μὲν ἄλλου, ὅλον δὲ οὐκ ἄλλου ἀλλ' ἐν ἄλλοις· ἐν γὰρ τοῖς μέρεσι τὸ ὅλον.

Περὶ μὲν οὖν γένους καὶ εἴδους καὶ τί τὸ γενικώτατον καὶ τί τὸ εἰδικώτατον καὶ τίνα καὶ γένη τὰ αὐτὰ καὶ εἴδη τίνα τε τὰ ἄτομα καὶ ποσαχῶς τὸ γένος καὶ τὸ εἶδος, εἴρηται.

Περὶ διαφορᾶς.

Διαφορὰ δὲ κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα λεγέσθω. κοινῶς μὲν γὰρ διαφέρειν ἕτερον ἑτέρου λέγεται τὸ ἑτερότητι διαλλάττον ὁπωσοῦν ἢ πρὸς αὑτὸ ἢ πρὸς ἄλλο· διαφέρει γὰρ Σωκράτης Πλάτωνος τῇ ἑτερότητι καὶ αὐτός γε ἑαυτοῦ παιδός τε ὄντος καὶ ἀνδρωθέντος καὶ ἐνεργοῦντός τι ἢ παυσαμένου καὶ ἀεί γε ἐν ταῖς τοῦ πῶς ἔχειν ἑτερότησιν. ἰδίως δὲ διαφέρειν λέγεται ἕτερον ἑτέρου, ὅταν ἀχωρίστῳ συμβεβηκότι τὸ ἕτερον τοῦ ἑτέρου διαφέρῃ· ἀχώριστον δὲ συμβεβηκὸς οἷον γλαυκότης ἢ γρυπότης ἢ καὶ οὐλὴ ἐκ τραύματος ἐνσκιρωθεῖσα. ἰδιαίτατα δὲ διαφέρειν ἕτερον ἑτέρου λέγεται, ὅταν εἰδοποιῷ διαφορᾷ διαλλάττῃ, ὥσπερ ἄνθρωπος ἵππου εἰδοποιῷ διαφορᾷ διενήνοχε τῇ τοῦ λογικοῦ ποιότητι. καθόλου μὲν οὖν πᾶσα διαφορὰ ἑτεροῖον ποιεῖ προσγινομένη τινί· ἀλλ' αἱ μὲν κοινῶς καὶ ἰδίως ἀλλοῖον ποιοῦσιν, αἱ δὲ ἰδιαίτατα ἄλλο. τῶν γὰρ διαφορῶν αἱ μὲν ἀλλοῖον ποιοῦσιν, αἱ δὲ ἄλλο. αἱ μὲν οὖν ποιοῦσαι ἄλλο εἰδοποιοὶ κέκληνται, αἱ δὲ ἀλλοῖον ἁπλῶς διαφοραί. τῷ γὰρ ζῴῳ διαφορὰ προσελθοῦσα ἡ τοῦ λο-

1 τὸ δὲ ἄτομον BCLMa Boeth.: καὶ τὸ μὲν ἄτομον A καὶ τὸ εἶδος δὲ Dav. 2 ἐν (ante ἄλλοις) om. M[1] (suppl. in mrg. m.[2]) 2. 3 ἐν γὰρ τοῖς ACMa: ἐν τοῖς γὰρ BL Dav. 5 καὶ (ante γένη) om. CMa Boeth.: exhib. ABL τὰ αὐτὰ] τὰ τοιαῦτα a γένη καὶ εἴδη τὰ αὐτὰ colloc. M τίνα τε] καὶ τίνα C τὰ (ante ἄτομα) om. a 6 ante εἴρηται add. λέγεται C Boeth.: om. ABLMa 7 tit. Περὶ διαφορᾶς om. C: exhib. ABLMa 8 ante διαφορὰ add. Ἡ a 9 διαλλάττον ABCLa: διαφέρον M 10 αὐτὸ B 11 αὐτός γε BL: αὐτὸς ACMa Boeth. καὶ ἀνδρωθέντος om. B: exhib. ACLMa Boeth. Dav. ἐνεργοῦντος ἢ καὶ παυσαμένου Dav. 12 καὶ ἀεί γε supra lit. M[2] ἔχειν ALMa: ἔχει BC post ἑτερότησιν add. θεωρεῖται a: om. codd. Boeth. 13 λέγεται post ἑτέρου colloc. a ἀχωρίστῳ ACLMa: ἀχωρίστως B 13. 14 τοῦ ἑτέρου διαφέρῃ τὸ ἕτερον colloc. C 14 οἷον om. ABL: exhib. CMa Boeth. γλαυκότης ἢ γρυπότης BLa: ἡ γλαυκότης καὶ ἡ γρυπότης A: γρυπότης γλαυκότης (sic colloc.) CM Boeth. 14. 15 ἢ καὶ οὐλὴ BL: καὶ οὐλὴ A: ἢ οὐλὴ Ca: οὐλὴ M Boeth. 15 ἐνσκιρωθεῖσθα A[1]CL[1]M: ἐνσκιρρωθεῖσα A[2]BL[3]a 16 διαλλάττῃ ACa: διαλάττῃ LM: παραλλάξῃ B Dav.: *distiterit* Boeth. ante ἄνθρωπος add. ὁ C: om. ABLMa 18 ἑτεροῖον ποιεῖ post τινί transp. Ma προσγενομένη AM 18. 19 αἱ—ποιοῦσιν] *ea—facit* Boeth., unde conicias ἡ μὲν—ποιεῖ 18 post μὲν add. οὖν C: om. ABLMa Boeth. post κοινῶς add. τε L[3]a: om. ABCL[1]M 19. 20 αἱ δὲ ἰδιαίτατα—ποιοῦσιν om. a 19 αἱ δὲ BCLM Dav.: ἡ δὲ A Boeth. (fort. recte) 19. 20 τῶν γὰρ διαφορῶν—ἄλλο om. M (suppl. in mrg. m.[2]) 20 αἱ μὲν οὖν ACMa: καὶ αἱ μὲν BL: αἱ μὲν Boeth. ποιοῦσαι post ἄλλο transp. M 21 διαφορὰ post προσελθοῦσα transp. C: post λογικοῦ a

γικοῦ ἄλλο ἐποίησεν, ἡ δὲ τοῦ κινεῖσθαι ἀλλοῖον μόνον παρὰ τὸ ἠρε- 3a μοῦν ἐποίησεν, ὥστε ἡ μὲν ἄλλο, ἡ δὲ ἀλλοῖον μόνον ἐποίησεν. κατὰ μὲν οὖν τὰς ἄλλο ποιούσας διαφορὰς αἵ τε διαιρέσεις γίνονται τῶν γενῶν εἰς τὰ εἴδη, οἵ τε ὅροι ἀποδίδονται ἐκ γένους ὄντες καὶ τῶν τοιούτων διαφορῶν, κατὰ δὲ τὰς μόνον ἀλλοῖον ποιούσας αἱ ἑτερότητες μόνον συνίστανται καὶ αἱ τοῦ πῶς ἔχοντος μεταβολαί.

Ἄνωθεν οὖν πάλιν ἀρχομένῳ ῥητέον τῶν διαφορῶν τὰς μὲν χωριστὰς εἶναι, τὰς δὲ ἀχωρίστους· τὸ μὲν γὰρ κινεῖσθαι καὶ τὸ ἠρεμεῖν καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν καὶ ὅσα τούτοις παραπλήσια χωριστά ἐστιν, τὸ δὲ γρυπὸν εἶναι ἢ σιμὸν ἢ λογικὸν ἢ ἄλογον ἀχώριστα. τῶν δὲ ἀχωρίστων αἱ μὲν ὑπάρχουσι καθ' αὐτάς, αἱ δὲ κατὰ συμβεβηκός· τὸ μὲν γὰρ λογικὸν καθ' αὐτὸ ὑπάρχει τῷ ἀνθρώπῳ καὶ τὸ θνητὸν καὶ τὸ ἐπιστήμης εἶναι δεκτικόν, τὸ δὲ γρυπὸν ἢ σιμὸν εἶναι κατὰ συμβεβηκὸς καὶ οὐ καθ' αὐτό. αἱ μὲν οὖν καθ' αὐτὰς προσοῦσαι ἐν τῷ τῆς οὐσίας λαμβάνονται λόγῳ καὶ ποιοῦσιν ἄλλο, αἱ δὲ κατὰ συμβεβηκὸς οὔτε ἐν τῷ τῆς οὐσίας λόγῳ λαμβάνονται οὔτε ποιοῦσιν ἄλλο ἀλλὰ ἀλλοῖον. καὶ αἱ μὲν καθ' αὐτὰς οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, αἱ δὲ κατὰ συμβεβηκός, κἂν ἀχώριστοι ὦσιν, ἐπίτασιν λαμβάνουσι καὶ ἄνεσιν· οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ ἧττον κατηγορεῖται οὗ ἂν ᾖ γένος οὔτε αἱ τοῦ γένους διαφοραί, καθ' ἃς διαιρεῖται· αὗται μὲν γάρ εἰσιν αἱ τὸν ἑκάστου λόγον συμπληροῦσαι, τὸ δὲ εἶναι ἑκάστῳ ἓν καὶ τὸ αὐτὸ οὔτε ἄνεσιν οὔτε ἐπίτασιν ἐπιδεχόμενόν ἐστιν, | τὸ δὲ γρυπὸν ἢ σιμὸν εἶναι ἢ κεχρῶσθαί πως καὶ ἐπιτείνεται καὶ 3b ἀνίεται.

Τριῶν οὖν εἰδῶν τῆς διαφορᾶς θεωρουμένων καὶ τῶν μὲν οὐσῶν χωριστῶν τῶν δὲ ἀχωρίστων καὶ πάλιν τῶν ἀχωρίστων τῶν μὲν οὐσῶν καθ'

---

1 post ἐποίησεν add. ζῷον L: om. ABCMa Boeth. post ἐποίησεν add. καὶ εἶδος τοῦ ζῴου ἐποίησεν BCLM^{2} Boethii lemma: om. AM^{1}a: neque vero Ammonium neque Davidem ac ne Boethium quidem illa legisse ex commentariis eorum apparere mihi videtur 3 διαφορὰς om. C Dav. Boeth. γίνονται post γενῶν transpos. BLa 4 ante τῶν add. ἐκ Dav. 5 μόνον ἀλλοῖον ποιούσας BL^{2}Ma Boeth. quod tuentur commentatores: μόνον ἀλλοιούσας L^{1}: ἀλλοιούσας (μόνον om.) A: ἀλλοῖον μόνον ποιούσας C αἱ om. AL: exhib. BCMa ἑτερότητες — συνίστανται] *alteratio — consistit* Boeth. μόνον (alterum) ABLMa: μόναι (ante ἑτερότητες transpos.) C 6 αἱ om. L: exhib. ABCMa ἔχοντες M 7 πάλιν om. Amm. ἀρχομένοις Amm. χωριστὰς post εἶναι transp. CM 8. 9 καὶ τὸ νοσεῖν καὶ τὸ ὑγιαίνειν colloc. a 9 ἐστὶν] εἰσὶν B 10 γρυπτὸν C ἢ λογικὸν AMa Boeth.: ἢ γλαυκὸν L: ἢ γλαυκὸν ἢ λογικὸν BC 11 καθ' αὑτὰς codd.: καθ' αὑτὸ a 12 ante ὑπάρχει add. καὶ a: om. codd. Boeth. 13 γρυπὸν εἶναι ἢ σιμὸν colloc. Ma 14 καθ' αὑτὰς scripsi: καθ' αὑτὸ libri 14. 15 λόγῳ λαμβάνονται colloc. a 15 post συμβεβηκὸς rasura ALV fere litter. L 16 λόγῳ post λαμβάνονται transp. CM λαμβάνονται BCLa: περιλαμβάνονται AM: λέγονται Dav. Boeth. (fort. recte) 16. 17 καθ' αὑτὰς Dav.: καθ' αὑτὸ libri 18 λαμβάνουσι post ἄνεσιν transp. Ma 19 καὶ ἧττον ABCLa Dav.: ἢ ἧττον M Boeth. ᾖ ACL Dav.: εἴη BMa 20 ante διαιρεῖται add. καὶ M: om. ABCLa Boeth. post διαιρεῖται add. τὸ γένος εἰς τὰ εἴδη C: om. ABLMa Boeth. 21 οὔτε ἐπίτασιν οὔτε ἄνεσιν colloc. M 22 εἶναι post γρυπὸν transp. M

αὑτὰς τῶν δὲ κατὰ συμβεβηκός, πάλιν τῶν καθ' αὑτὰς διαφορῶν αἱ μέν 3b εἰσι καθ' ἃς διαιρούμεθα τὰ γένη εἰς τὰ εἴδη, αἱ δὲ καθ' ἃς τὰ διαιρεθέντα εἰδοποιεῖται. οἷον τῶν καθ' αὑτὰς διαφορῶν πασῶν τῶν τοιούτων τοῦ ζῴου οὐσῶν ἐμψύχου καὶ αἰσθητικοῦ, λογικοῦ καὶ ἀλόγου, θνητοῦ καὶ ἀθανάτου, ἡ μὲν τοῦ ἐμψύχου καὶ αἰσθητικοῦ διαφορὰ συστατική ἐστι τῆς τοῦ ζῴου οὐσίας, ἔστι γὰρ τὸ ζῷον οὐσία ἔμψυχος αἰσθητική, ἡ δὲ τοῦ θνητοῦ καὶ ἀθανάτου διαφορὰ καὶ ἡ τοῦ λογικοῦ τε καὶ ἀλόγου διαιρετικαί εἰσι τοῦ ζῴου διαφοραί· δι' αὐτῶν γὰρ τὰ γένη εἰς τὰ εἴδη διαιρούμεθα. ἀλλ' αὗταί γε αἱ διαιρετικαὶ διαφοραὶ τῶν γενῶν συμπληρωτικαὶ γίνονται καὶ συστατικαὶ τῶν εἰδῶν· τέμνεται γὰρ τὸ ζῷον τῇ τε τοῦ λογικοῦ καὶ τῇ τοῦ ἀλόγου διαφορᾷ καὶ πάλιν τῇ τε τοῦ θνητοῦ καὶ τοῦ ἀθανάτου διαφορᾷ. ἀλλ' αἱ μὲν τοῦ θνητοῦ καὶ τοῦ λογικοῦ διαφοραὶ συστατικαὶ γίνονται τοῦ ἀνθρώπου, αἱ δὲ τοῦ λογικοῦ καὶ τοῦ ἀθανάτου τοῦ θεοῦ, αἱ δὲ τοῦ ἀλόγου καὶ τοῦ θνητοῦ τῶν ἀλόγων ζῴων. οὕτω δὲ καὶ τῆς ἀνωτάτω οὐσίας διαιρετικῶν οὐσῶν τῆς τε ἐμψύχου καὶ ἀψύχου διαφορᾶς καὶ τῆς αἰσθητικῆς καὶ ἀναισθήτου ἡ μὲν ἔμψυχος καὶ αἰσθητικὴ συλληφθεῖσαι τῇ οὐσίᾳ ἀπετέλεσαν τὸ ζῷον, ἡ δὲ ἔμψυχος καὶ ἀναίσθητος ἀπετέλεσαν τὸ φυτόν. ἐπεὶ οὖν αἱ αὐταὶ πὼς μὲν ληφθεῖσαι γίνονται συστατικαί, πὼς δὲ διαιρετικαί, εἰδοποιοὶ πᾶσαι κέκληνται. καὶ τούτων γε μάλιστα χρεία εἴς τε τὰς διαιρέσεις τῶν γενῶν καὶ εἰς τοὺς ὁρισμούς, ἀλλ' οὐ τῶν κατὰ συμβεβηκὸς ἀχωρίστων οὐδ' ἔτι μᾶλλον τῶν χωριστῶν.

Ἃς δὴ καὶ ὁριζόμενοί φασιν· διαφορά ἐστιν ᾗ περισσεύει τὸ εἶδος τοῦ

2 διαιρούμεθα ABCL: διαιροῦμεν Ma 3 εἰδιοποιεῖται B καθ' αὑτὰς codd.: καθ' αὑτὸ a 4 ἐμψύχου καὶ αἰσθητιτοῦ ABCLM: ἐμψύχου τε καὶ αἰσθητιτοῦ a: *animati et inanimati, sensibilis et ipsensibilis* Boeth. 4. 5 λογικοῦ καὶ ἀλόγου, θνητοῦ καὶ ἀθανάτου AB Boeth.: λογικοῦ τε καὶ ἀλόγου, θνητοῦ τε καὶ ἀθανάτου a: καὶ λογικοῦ καὶ ἀλόγου καὶ θνητοῦ καὶ ἀθανάτου C: καὶ θνητοῦ καὶ ἀθανάτου (λογ. καὶ ἀλόγ. om.) L: καὶ θνητοῦ καὶ ἀθανάτου καὶ λογικοῦ καὶ ἀλόγου M 5 αἱ — διαφοραὶ Dav. post μὲν add. οὖν B: om. ACLMa Dav. Boeth. συστατική ἐστι ABCLa Boeth.: ὑποστατική ἐστι M: ὑποστατικαί εἰσιν Dav. 7 τε om. B fort. recte: exhib. ACLMa 9 γε om. a 10 ante τέμνεται VII litter. eras. C post τέμνεται add. μὲν M: om. ABCLMa Boeth. τε (ante τοῦ λογικοῦ) om. A: exhib. BCLMa 11 τῇ (ante τοῦ ἀλόγου) om. Ba: exhib. ACLM τῇ τε τοῦ θνητοῦ ACLMa: τῇ τοῦ θνητοῦ B τοῦ ἀθαν. CMa: ἀθαν. ABL: an τῇ τοῦ ἀθαν.? 12 τοῦ λογικοῦ καὶ τοῦ θνητοῦ colloc. Ma Boeth. τοῦ (ante λογικοῦ) om. C: exhib. ABLMa 13 τοῦ (ante ἀθανάτου) om. a θεοῦ AB Boeth. et (ut videtur) L^1M^1: ἀγγέλου Ca et in lit. L^3M^2 14 τοῦ ἀλόγου καὶ τοῦ θνητοῦ ABCL Boeth.: τοῦ θνητοῦ καὶ ἀλόγου (alt. τοῦ om.) colloc. Ma καὶ (ante τῆς) om. M (suppl. $m.^2$) 15 διαιρετικῶν οὐσῶν AL^1: διαιρετικῆς οὔσης BCL^3M Boeth. 16 αἰσθητικῆς — ἔμψυχος mutilata suppl. $m.^2$ M post αἰσθητικῆς add. τε AM^2a: om. BCL ante ἀναισθήτου add. τῆς C: om. ABLMa μὲν om. CL: exhib. ABMa post ἔμψυχος add. τε A: om. BCLMa συλληφθεῖσαι CM Boeth.: συλληφθεῖσα ABL: προσληφθεῖσαι a 17 ἀπετέλεσαν BCLMa Boeth.: ἀπετέλεσεν A 17. 18 ἡ δὲ ἔμψυχος — τὸ φυτόν om. Boeth. 17 ἀπετέλεσαν BCMa: ἀπετέλεσεν L et iterat A 18 μὲν om. C ante alterum πὼς add. καὶ B: om. ACLMa Boeth. 19 καὶ om. a 19. 20 γε et τε om. Amm. 20 εἰς om. CM Boeth.: exhib. ABLa 22 δὴ] δὲ a 22. p. 11,1 τὸ γένος τοῦ εἴδους Dav. in lemmat., sed in comment. recte τὸ εἶδος τοῦ γένους legitur

γένους. ὁ γὰρ ἄνθρωπος τοῦ ζῴου πλέον ἔχει τὸ λογικὸν καὶ τὸ θνητόν· 3b τὸ γὰρ ζῷον οὔτε οὐδὲν τούτων ἐστίν, ἐπεὶ πόθεν ἂν τὰ εἴδη σχοῖεν διαφοράς; οὔτε δὲ πάσας τὰς ἀντικειμένας ἔχει, ἐπεὶ τὸ αὐτὸ ἅμα ἕξει τὰ ἀντικείμενα, ἀλλ' ὡς ἀξιοῦσι, δυνάμει μὲν πάσας ἔχει τὰς τῶν ὑφ' αὑτὸ διαφοράς, ἐνεργείᾳ δὲ οὐδεμίαν. καὶ οὕτως οὔτε ἐξ οὐκ ὄντων τι γίνεται οὔτε τὰ ἀντικείμενα ἅμα περὶ τὸ αὐτὸ ἔσται.

Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως· διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ποιόν τί ἐστι κατηγορούμενον· τὸ γὰρ λογικὸν καὶ τὸ θνητὸν τοῦ ἀνθρώπου κατηγορούμενον ἐν τῷ ποιόν τί ἐστιν ὁ ἄνθρωπος λέγεται ἀλλ' οὐκ ἐν τῷ τί ἐστιν. τί μὲν γάρ ἐστιν ὁ ἄνθρωπος ἐρωτωμένων ἡμῶν οἰκεῖον εἰπεῖν ζῷον, ποῖον δὲ ζῷον πυνθανομένων λογικὸν καὶ θνητὸν οἰκείως ἀποδώσομεν. τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων ἢ ἀνάλογόν γε ὕλῃ καὶ εἴδει τὴν σύστασιν ἐχόντων, ὥσπερ ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ χαλκοῦ, εἴδους δὲ τοῦ σχήματος, οὕτως καὶ ὁ ἄνθρωπος ὁ κοινός τε καὶ εἰδικὸς ἐξ ὕλης μὲν ἀναλόγου συνέστηκεν τοῦ γένους, ἐκ μορφῆς δὲ τῆς διαφορᾶς, τὸ δὲ ὅλον τοῦτο, ζῷον λογικὸν θνητόν, ὁ ἄνθρωπος, ὡς ἐκεῖ ὁ ἀνδριάς.

Ὑπογράφουσι δὲ τὰς τοιαύτας διαφορὰς καὶ οὕτως· διαφορά ἐστιν τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος· τὸ λογικὸν γὰρ καὶ τὸ ἄλογον τὸν ἄνθρωπον καὶ τὸν ἵππον ὄντα ὑπὸ τὸ αὐτὸ γένος τὸ ζῷον χωρίζει. ἀποδιδόασι δὲ καὶ οὕτως· διαφορά ἐστιν ὅτῳ διαφέρει ἕκαστα. ἄνθρωπος γὰρ καὶ ἵππος κατὰ μὲν τὸ γένος οὐ διενήνοχεν· θνητὰ γὰρ ζῷα καὶ ἡμεῖς καὶ τὰ ἄλογα, | ἀλλὰ τὸ λογικὸν προστεθὲν διέστησεν ἡμᾶς ἀπ' 4a ἐκείνων· καὶ λογικά ἐσμεν καὶ ἡμεῖς καὶ οἱ θεοί, ἀλλὰ τὸ θνητὸν προστεθὲν

---

1 τοῦ ζῴου post ἔχει transpos. Ma   ante θνητὸν ras. V litt. B   2 post ἐστίν ras. V litt. C   σχοῖεν ABCM: σχοίη La   2. 3 ante διαφοράς add. τὰς Aa: om. BCLM   3 post ἔχει add. οὐκ ἐνεργείᾳ ἀλλὰ δυνάμει (punctis circumscript.) C   4 post ἀντικείμενα add. εἴδη a: om. codd. Boeth.   τῶν om. B: in litura M   ὑφ' αὑτὸ ABa: ὑπ' αὐτὸ CLM   5 οὐδὲ μίαν ALa   οὔτε BCMa: in ras. A^2: οὐδὲ L   6 post ἀντικείμενα add. εἴδη BCMa: om. AL Boeth.   ἅμα om. a: add. codd. Boeth.   7 δὲ αὐτὴν om. Amm.   8 ὁποῖόν C   9 καθηγορούμενα (sed α in ras. 2 litter. $m.^3$) L   ὁποῖον B   10 ὁ om. C: exhib. ABLMa   11 ἐρωτωμένων ACMa Boeth.: ἐπερωτωμένῳ B: ἐρωτώμενῳ L (sed ante ἐρωτ. ras. II litt., unde ἐπερωτωμένῳ conicere licet)   ἡμῶν om. A^1BL: exhib. A^2CMa Boeth.   εἰπεῖν in mrg. A^1 πυνθανομένων ACMa: πυνθανομένῳ BL: *inquisiti* Boeth.   ante λογικὸν add. φαμὲν ὅτι M: ὅτι CL^3a Boeth.: om. ABL^1 12 ἀποδώσωμεν L^1 13 ἀνάλογον ACLMa Dav. Boeth.: ἀναγωγὸν B   γε om. BL: exhib. ACMa   15 ἰδικὸς BC   ἀναλόγου] ἀλόγου L^1 16 θνητὸν] θητὸν B: om. L^1 17 ἐκεῖ ALMa Boeth.: ἔχει BC Dav. comment.   18 post δὲ add. καὶ B   τὰς τοιαύτας διαφορὰς om. a: exhib. ABCLM Dav. Boeth.   19 λογικὸν post γὰρ transpos. M   post ἄλογον add. τοῦτ' ἔστι B: om. ACLMa Boeth.   20 ὄντα post αὐτὸ transpos. B   ἕκαστα ABC El. comment. Boeth.: ἕκαστον LMa   21. 22 ἄνθρωπος γὰρ καὶ ἵππος om. Boeth. (?)   21 ἄνθρωπος γὰρ ABL^1a: ὁ γὰρ ἄνθρωπος CM: ὁ ἄνθρωπος γὰρ L^3 22 ὁ ἵππος CML^3a: ἵππος ABL^1 μὲν ACa et in ras. L^3: γοῦν B: om. M   τὸ om. M   οὐ] οὐδὲν M   θνητὰ γὰρ ζῷα ABCLM Boeth.: ζῷα γὰρ a   23 τὰ ἄλογα ABCM Boeth.: τὰ ἄλλα L: οἱ ἵπποι a   24 λογικά AL: λογικοί BC^1Ma Boeth.   θεοί A^2M^1 Boeth.: ἄγγελοι $BCLM^2$a

διέστησεν ἡμᾶς ἀπ' ἐκείνων. προσεξεργαζόμενοι δὲ τὰ περὶ τῆς διαφορᾶς 4a μὴ τὸ τυχόν φασι τῶν χωριζόντων τὰ ὑπὸ τὸ αὐτὸ γένος εἶναι τὴν διαφοράν, ἀλλ' ὅπερ εἰς τὸ εἶναι συμβάλλεται καὶ ὃ τοῦ τί ἦν εἶναι τοῦ πράγματός ἐστι μέρος. οὐ γὰρ τὸ πεφυκέναι πλεῖν διαφορὰ ἀνθρώπου, εἰ καὶ ἴδιον ἀνθρώπου· εἴποιμεν γὰρ ἂν τῶν ζῴων τὰ μὲν πλεῖν πεφυκέναι τὰ δὲ μή χωρίζοντες ἀπὸ τῶν ἄλλων, ἀλλὰ τὸ πεφυκέναι πλεῖν οὐκ ἦν συμπληρωτικὸν τῆς οὐσίας οὐδὲ μέρος αὐτῆς, ἀλλ' ἐπιτηδειότης μόνον αὐτῆς διὰ τὸ μὴ εἶναι οἷαι αἱ ἰδίως εἰδοποιοὶ λεγόμεναι διαφοραί. εἶεν ἂν οὖν εἰδοποιοὶ διαφοραί, ὅσαι ἕτερον εἶδος ποιοῦσιν, καὶ ὅσαι ἐν τῷ τί ἦν εἶναι παραλαμβάνονται.

Καὶ περὶ μὲν διαφορᾶς ἀρκεῖ τοσαῦτα.

Περὶ ἰδίου.

Τὸ δὲ ἴδιον διαιροῦσι τετραχῶς· καὶ γὰρ ὃ μόνῳ τινὶ εἴδει συμβέβηκεν, εἰ καὶ μὴ παντί, ὡς ἀνθρώπῳ τὸ ἰατρεύειν ἢ τὸ γεωμετρεῖν· καὶ ὃ παντὶ συμβέβηκεν τῷ εἴδει, εἰ καὶ μὴ μόνῳ, ὡς τῷ ἀνθρώπῳ τὸ εἶναι δίποδι· καὶ ὃ μόνῳ καὶ παντὶ καὶ ποτέ, ὡς ἀνθρώπῳ παντὶ τὸ ἐν γήρᾳ πολιοῦσθαι. τέταρτον δέ, ἐφ' οὗ συνδεδράμηκεν τὸ μόνῳ καὶ παντὶ καὶ ἀεί, ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν· κἂν γὰρ μὴ γελᾷ ἀεί, ἀλλὰ γελαστικὸν λέγεται οὐ τῷ ἀεὶ γελᾶν ἀλλὰ τῷ πεφυκέναι· τοῦτο δὲ ἀεὶ αὐτῷ σύμφυτον ὑπάρχει, ὡς καὶ τῷ ἵππῳ τὸ χρεμετιστικόν. ταῦτα δὲ καὶ κυρίως ἴδιά φασιν, ὅτι καὶ ἀντιστρέφει· εἰ γὰρ ἵππος, χρεμετιστικόν, καὶ εἰ χρεμετιστικόν, ἵππος.

Περὶ συμβεβηκότος.

Συμβεβηκὸς δέ ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. διαιρεῖται δὲ εἰς δύο· τὸ μὲν γὰρ αὐτοῦ χωριστόν ἐστιν, τὸ δὲ ἀχώριστον. τὸ μὲν οὖν καθεύδειν χωριστὸν συμβεβηκός, τὸ δὲ μέλαν

1 τὰ] τὸ B 3:4 ὃ τοῦ τί ἦν εἶναι τοῦ πράγματος Boeth., comprob. Amm. et Dav. comm. ὃ τοῦ] τοῦ B: τὸ post ras. 1 litt. LM: τὸ ante ras. 1 litt. A: τὸ C: εἰς τὸ a post εἶναι add. καὶ ὃ ABCLa supra scr. M^2: om. M^1 Boeth. post διαφορὰ add. ἐστιν a: om. codd. 5 ἂν om. A 6 post χωρίζοντες add. τὸν ἄνθρωπον BCLa: om. AM Boeth. 8 post εἶναι add. διαφορὰν L^3a: om. ABCL^1M Boeth. οἷαι] αι in lit. M^2 9 ἂν om. C ἂν οὖν BLMa: οὖν ἂν A 12 tit. exhib. libri omnes 14 τὸ (ante γεωμετρεῖν) om. M 16 καὶ ὃ] *et quod* Boeth.: καὶ τὸ ABCa: καὶ ὃ τὸ L: καὶ τῷ M παντὶ om. Boeth. (?) ante τὸ ἐν γήρᾳ add. καὶ C: om. ABLMa Boeth. 17 ante τὸ μόνῳ add. καὶ BCa: om. ALM Boeth. τῷ μόνῳ BL^1 18 ἀλλὰ om. C: exhib. ABLMa Boeth. post ἀλλὰ add. δυνάμει A: om. BCLMa Boeth. γελαστικὸν AMa Boeth.: γελαστικὸς BCL ἀεὶ ABCLa: ἤδη in lit. M^2 Boeth. (fort. recte) ἀεὶ post γελᾶν transpos a 19 ante πεφυκέναι add. ἀεὶ a: om. codd. Boeth. αὐτῷ ἀεὶ colloc. C 20 ὡς om. A: exhib. BCLMa Boeth. καὶ (ante κυρίως) om. A Boeth.: exhib. BCLMa 21 post εἰ utrobique add. τι a: om. codd.: *quidquid* Boeth. 23 tit. Περὶ συμβεβηκότος ACMa mrg. L: Περὶ τοῦ συμβ. B 24 δὲ om. B Dav.: exhib. ACLMa Boeth. 26 μὲν οὖν] *nam* Boeth. post χωριστὸν add. ἐστι a: om. codd.

εἶναι ἀχωρίστως τῷ κόρακι καὶ τῷ Αἰθίοπι συμβέβηκεν, δύναται δὲ ἐπι- 4a
νοηθῆναι καὶ κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβαλὼν τὴν χροιὰν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου. ὁρίζονται δὲ καὶ οὕτως· συμβεβηκός ἐστιν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἢ ὃ οὔτε γένος ἐστὶν οὔτε διαφορὰ οὔτε εἶδος οὔτε ἴδιον, ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον.

Ἀφορισθέντων δὲ πάντων τῶν προτεθέντων, λέγω δὴ γένους, εἴδους, διαφορᾶς, ἰδίου, συμβεβηκότος, ῥητέον τίνα τε κοινὰ πρόσεστιν αὐτοῖς καὶ τίνα ἴδια.

Περὶ τῆς κοινωνίας τῶν πέντε φωνῶν.

Κοινὸν μὲν δὴ πάντων τὸ κατὰ πλειόνων κατηγορεῖσθαι. ἀλλὰ τὸ μὲν γένος τῶν εἰδῶν τε καὶ τῶν ἀτόμων, καὶ ἡ διαφορὰ ὡσαύτως, τὸ δὲ εἶδος τῶν ὑπ' αὐτὸ ἀτόμων, τὸ δὲ ἴδιον τοῦ τε εἴδους, οὗ ἐστιν ἴδιον, καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, τὸ δὲ συμβεβηκὸς καὶ εἰδῶν καὶ ἀτόμων. τό τε γὰρ ζῷον ἵππων τε καὶ βοῶν κατηγορεῖται εἰδῶν ὄντων καὶ τοῦδε τοῦ ἵππου καὶ τοῦδε τοῦ βοὸς ἀτόμων ὄντων, τὸ δὲ ἄλογον ἵππων καὶ βοῶν κατηγορεῖται καὶ τῶν κατὰ μέρος, τὸ μέντοι εἶδος οἷον ὁ ἄνθρωπος τῶν κατὰ μέρος μόνον, τὸ δὲ ἴδιον οἷον τὸ γελαστικὸν καὶ τοῦ ἀνθρώπου καὶ τῶν κατὰ μέρος, τὸ δὲ μέλαν τοῦ τε εἴδους τῶν κοράκων καὶ τῶν κατὰ μέρος συμβεβηκὸς ὂν ἀχώριστον, καὶ τὸ κινεῖσθαι ἀνθρώπου τε καὶ ἵππου χωριστὸν ὂν συμβεβηκός, ἀλλὰ προηγουμένως μὲν τῶν ἀτόμων, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν περιεχόντων τὰ ἄτομα. |

Περὶ τῆς κοινωνίας γένους καὶ διαφορᾶς. 4b

Κοινὸν δὲ γένους καὶ διαφορᾶς τὸ περιεκτικὸν εἰδῶν· περιέχει γὰρ καὶ

---

1 τῷ (utrobique) om. C: exhib. ABLMa 1. 2 ἐπινοηθεῖναι B 2 καὶ prius om. Dav. χροιὰν ABL[2]Ma Dav.: χρόαν CL[1] φθορᾶς τοῦ ὑποκειμένου ABLM: τῆς τοῦ ὑποκειμένου φθορᾶς C Dav.: τῆς φθορᾶς τοῦ ὑποκειμένου a 3 post δὲ add. αὐτὸ Aa: om. BCLM (*definitur* Boeth.) 4 τῷ αὐτῷ suppl. in mrg. L[1] ἢ (ante μὴ) ABLa Dav.: καὶ CM Boeth. 6 ante Ἀφορισθέντων superscr. titulum Περὶ κοινῶν καὶ διαφόρων τῶν πέντε φωνῶν B: om. ACLMa Boeth. δὲ] *igitur* Boeth. unde corrigas δὴ 9 titulum om. B: Περὶ τῆς κοινώνίας τῶν πέντε φωνῶν AL: Περὶ τῆς κοινωνίας τῶν π. φ. περὶ τῶν προσόντων κοινῶν καὶ ἰδίων C: Περὶ τῶν κοινῶν καὶ ἰδίων τῶν π. φ. M: Περὶ κοινωνιῶν καὶ διαφορῶν τῶν π. φ. a: *De communibus generis, speciei, differentiae, proprii et accidentis* Boeth. 10 δὴ codd.: οὖν a: om. Boeth. ἁπάντων a post καθηγορεῖσθαι add. ὡς εἴρηται a om. codd. Boeth. 11 ante εἰδῶν add. ὑπ' αὐτὸ Aa: om. BCLM Boeth. τε (post εἰδῶν) et τῶν (ante ἀτόμων) om. a 14 ἵππων τε καὶ βοῶν codd. Boeth.: ἵππου τε καὶ βοὸς a 15 τοῦ (ante βοὸς) om. M ἄλλογον B τὸ δὲ] καὶ τὸ in ras. L[3] ἵππων καὶ βοῶν codd. Boeth.: ἵππου καὶ βοὸς a 16 ὁ om. A[1]: exhib. A[2]BCLMa 17 μόνον codd. Boeth.: μόνων a post μόνον add. κατηγορεῖται a: om. codd. Boeth. post ἴδιον add. τοῦ τε εἴδους οὗ ἐστιν ἴδιον καὶ τῶν ὑπ' αὐτὸ ἀτόμων A: τοῦ τε εἴδους οὗ ἐστιν ἴδιον καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων a: om. BCLM Boeth. καὶ (post γελαστικὸν) om. Aa: exhib BCLM Boeth. τὰ supra scr. M[2] 22 tit. Περὶ τῆς κοινωνίας γ. καὶ δ. ABL: Περὶ κοινωνιῶν γ. καὶ δ. a: Περὶ τῶν κοινῶν γ. καὶ δ. καὶ τίσιν ἀλλήλων διαφέρουσιν M: κοινὰ γ. καὶ δ. C: *De communibus generis et differentiae* Boeth. 23 Κοινὸν BCLa in lit. M[2]: Κοινὰ A et fort. M[1] δὲ] τε B ante εἰδῶν add. τῶν a γὰρ] δὲ M[1]

ἡ διαφορὰ εἴδη, εἰ καὶ μὴ πάντα ὅσα τὰ γένη. τὸ γὰρ λογικὸν εἰ καὶ 4b μὴ περιέχει τὰ ἄλογα ὥσπερ τὸ ζῷον, ἀλλὰ περιέχει ἄνθρωπον καὶ θεόν, ἅπερ ἐστὶν εἴδη. ὅσα τε κατηγορεῖται τοῦ γένους ὡς γένους, καὶ τῶν ὑπ' αὐτὸ εἰδῶν κατηγορεῖται, ὅσα τε τῆς διαφορᾶς ὡς διαφορᾶς, καὶ τοῦ ἐξ αὐτῆς εἴδους κατηγορηθήσεται. γένους τε γὰρ τοῦ ζῴου ὄντος ὡς γένους κατηγορεῖται ἡ οὐσία καὶ τὸ ἔμψυχον, ἀλλὰ καὶ τῶν ὑπὸ τὸ ζῷον εἰδῶν πάντων κατηγορεῖται ταῦτα ἄχρι καὶ τῶν ἀτόμων· διαφορᾶς τε οὔσης τῆς τοῦ λογικοῦ κατηγορεῖται ὡς διαφορᾶς τὸ λόγῳ χρῆσθαι, οὐ μόνον δὲ τοῦ λογικοῦ ἀλλὰ καὶ τῶν ὑπὸ τὸ λογικὸν εἰδῶν κατηγορηθήσεται τὸ χρῆσθαι λόγῳ. κοινὸν δὲ καὶ τὸ ἀναιρεθέντος ἢ τοῦ γένους ἢ τῆς διαφορᾶς ἀναιρεῖσθαι τὰ ὑπ' αὐτά· ὡς γὰρ μὴ ὄντος ζῴου οὐκ ἔστιν ἵππος οὐδὲ ἄνθρωπος, οὕτως μὴ ὄντος λογικοῦ οὐδὲν ἔσται ζῷον τὸ χρώμενον λόγῳ.

Περὶ τῆς διαφορᾶς τοῦ γένους καὶ τῆς διαφορᾶς.

Ἴδιον δὲ τοῦ γένους τὸ ἐπὶ πλειόνων κατηγορεῖσθαι, ἤπερ ἡ διαφορὰ καὶ τὸ εἶδος καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκός· τὸ μὲν γὰρ ζῷον ἐπ' ἀνθρώπου καὶ ἵππου καὶ ὀρνέου καὶ ὄφεως, τὸ δὲ τετράπουν ἐπὶ μόνων τῶν τέσσαρας πόδας ἐχόντων, ὁ δὲ ἄνθρωπος ἐπὶ μόνων τῶν ἀτόμων, καὶ τὸ χρεμετιστικὸν ἐπὶ τοῦ ἵππου μόνον καὶ τῶν κατὰ μέρος, καὶ τὸ συμβεβηκὸς ὁμοίως ἐπ' ἐλαττόνων. δεῖ δὲ διαφορὰς λαμβάνειν, αἷς τέμνεται τὸ γένος, οὐ τὰς συμπληρωτικὰς τῆς οὐσίας τοῦ γένους. ἔτι τὸ γένος περιέχει τὴν διαφορὰν δυνάμει· τοῦ γὰρ ζῴου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον. ἔτι τὰ μὲν γένη πρότερα τῶν ὑπ' αὐτὰ διαφορῶν, διὸ συναναιρεῖ μὲν αὐτάς, οὐ συναναιρεῖται δέ· ἀναιρεθέντος γὰρ τοῦ ζῴου συναναιρεῖται τὸ λογικὸν καὶ

1 γὰρ] δὲ M[1] 2 περιέχει (ante τὰ ἄλογα) ACL[3]Ma: περιέχη L[1]: ἔχη B θεὸν in ras. A[1] Boeth.: ἄγγελον BCLMa ἄγγελον καὶ ἄνθρωπον colloc. Ca 3 ante ὅσα add. ἔτι C: om. ABLMa: *et quaecunque* Boeth., unde καὶ recipias 3. 4 ὡς γένους et ὡς διαφορᾶς] cf. Boeth. ὑπ' αὐτὸ ABCLa: ὑπ' αὐτὰ M 5 αὐτῆς ex αὐτοῦ corr. A[3] τοῦ ζῴου post ὄντος transpos. Ca 6 post ἔμψυχον add. καὶ τὸ αἰσθητικόν A mrg. B[2]a El. et Dav. comment.: om. B[1]CLM Boeth. lemma et comment. τῶν et τὸ om. B[1] 7 πάντων codd. Boeth.: ὄντων a τῆς om. Ba: exhib. ACLM 8 τὸ ACa corr. L[1] Boeth.: τῷ BM 9. 10 λόγῳ χρῆσθαι colloc. a 10 ἢ (ante τοῦ γένους) om. Ma Boeth.: exhib. ABCL 10. 11 ἀναιρεῖσθαι ALM Dav. comment.: συναναιρεῖσθαι BC Boeth. 11 ante τὰ ὑπ' αὐτὰ add. καὶ a Dav. comment.: om. ABCLM Boeth. 12 οὐδὲν] οὐδὲ ἓν M τὸ om. M: exhib. ABCLa λόγῳ χρώμενον colloc. a 13 tit. Περὶ τῆς διαφορᾶς τοῦ γένους καὶ τῆς διαφορᾶς ACL: Περὶ τῶν ἰδίων τοῦ γ. καὶ τῆς δ. B Boeth.: Περὶ τῶν ἰδίων γένους καὶ διαφορᾶς M: Περὶ διαφορᾶς γένους καὶ διαφορᾶς a 15 γὰρ om. B: exhib. ACLMa Boeth. 16 μόνων ACLMa Boeth.: μόνον B 17 μόνων ACLa Boeth.: μόνον BM 18 τοῦ ἵππου post μόνον transpos. M μόνον ABCL: μόνου Ma: om. Boeth. 19 post ἐλαττόνων add. μόνον τῶν ἀτόμων C: om. ABLMa Boeth. 20 post συμπληρωτικὰς add. οὔσας BL: om. ACMa post γένους add. ἀλλὰ τὰς διαιρετικάς BM[2]a: om. ACLM[1] Boeth. post τὸ add. μὲν M: om. ABCLa Amm. Boeth. 21 post ἄλογον add. αἱ δὲ διαφοραὶ οὐ περιέχουσι τὰ γένη BCM[2]a: om. ALM[1] Boeth. 22 ὑπ' αὐτὰ BCLa: ὑφ' αὐτὰ AM 23 post ἀναιρεῖται δέ add. ὑπ' αὐτῶν a: om. codd. Boeth. συναναιρεῖται] *aufertur* (ἀναιρεῖται) Boeth.

τὸ ἄλογον. αἱ δὲ διαφοραὶ οὐκέτι συναναιροῦσι τὸ γένος· κἂν γὰρ πᾶσαι ἀναιρεθῶσιν, οὐσία ἔμψυχος αἰσθητικὴ ἐπινοεῖται, ἥτις ἦν τὸ ζῷον. ἔτι τὸ μὲν γένος ἐν τῷ τί ἐστιν, ἡ δὲ διαφορὰ ἐν τῷ ποῖόν τί ἐστιν, ὡς εἴρηται, κατηγορεῖται. ἔτι γένος μὲν ἓν καθ' ἕκαστον εἶδος οἷον ἀνθρώπου τὸ ζῷον, διαφοραὶ δὲ πλείους οἷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, αἷς τῶν ἄλλων ζῴων διαφέρει. καὶ τὸ μὲν γένος ἔοικεν ὕλῃ, μορφῇ δὲ ἡ διαφορά. προσόντων δὲ καὶ ἄλλων κοινῶν τε καὶ ἰδίων τῷ γένει καὶ τῇ διαφορᾷ ἀρκείτω ταῦτα.

Περὶ τῆς κοινωνίας τοῦ γένους καὶ τοῦ εἴδους.

Γένος δὲ καὶ εἶδος κοινὸν μὲν ἔχουσι τὸ κατὰ πλειόνων, ὡς εἴρηται, κατηγορεῖσθαι· εἰλήφθω δὲ τὸ εἶδος ὡς εἶδος, ἀλλ' οὐχὶ καὶ ὡς γένος, ἄνπερ ᾖ τὸ αὐτὸ καὶ εἶδος καὶ γένος. κοινὸν δὲ αὐτοῖς καὶ τὸ προτέροις εἶναι ὧν κατηγορεῖται καὶ τὸ ὅλον τι εἶναι ἑκάτερον.

Περὶ τῆς διαφορᾶς τοῦ γένους καὶ τοῦ εἴδους.

Διαφέρει δὲ ᾗ τὸ μὲν γένος περιέχει τὰ εἴδη, τὰ δὲ εἴδη περιέχεται καὶ οὐ περιέχει τὰ γένη· ἐπὶ πλεῖον γὰρ τὸ γένος τοῦ εἴδους. ἔτι τὰ γένη προϋποκεῖσθαι δεῖ καὶ διαμορφωθέντα ταῖς εἰδοποιοῖς διαφοραῖς ἀποτελεῖν τὰ εἴδη, ὅθεν καὶ πρότερα τῇ φύσει τὰ γένη. καὶ συναναιροῦντα, ἀλλ' οὐ συναναιρούμενα, καὶ εἴδους μὲν ὄντος πάντως ἔστι καὶ γένος, γένους δὲ ὄντος οὐ πάντως ἔστι καὶ τὸ εἶδος. καὶ τὰ μὲν γένη συνωνύμως κατηγορεῖται τῶν ὑφ' ἑαυτὰ εἰδῶν, τὰ δὲ εἴδη τῶν γενῶν οὐκέτι. ἔτι τὰ μὲν γένη πλεονάζει τῇ τῶν ὑπ' αὐτὰ εἰδῶν περιοχῇ, τὰ δὲ εἴδη τῶν γενῶν πλεονάζει ταῖς οἰκείαις διαφοραῖς. ἔτι οὔτε τὸ εἶδος γένοιτ' ἂν γενικώτατον οὔτε τὸ γένος εἰδικώτατον. |

1 οὐκέτι συναναιροῦσι Aa: οὐκέτι ἀναιροῦσι B: οὐκ ἀναιροῦσι LM Boeth.: οὐκ ἀνταναιροῦσι C γὰρ om. C 2 ἐπινοεῖται BCLMa: ἐπινενόηται A: *subintellegi potest* Boeth. 3 μὲν om. B: exhib. ACLMa Boeth. 4 ante γένος add. τὸ L^{3} μὲν in lit. L^{3} ἓν om. M: exhib. ABCLa Boeth. post ἀνθρώπου add. γένος a: om. codd. Boeth. 5 πλείους] *plurimae* Boeth. 6 supra αἷς add. διαφοραῖς L^{3} ἄλλων ABLMa Boeth.: ἀλόγων C 7 δὲ (ante καὶ) om. C 7. 8 τῷ γένει καὶ τῇ διαφορᾷ ACLMa: γένει τε καὶ διαφορᾷ B 8 ἀρκείτω ταῦτα ACLM: ἀρκεῖ τοσαῦτα Ba: *nunc ista sufficiant* Boeth. 9 tit. om. M: Περὶ τῆς κοινωνίας τοῦ γ. καὶ τοῦ εἴδ. ABL: κοινὰ γένους καὶ εἴδους C: Περὶ κοινωνίας γένους καὶ εἴδους a: *De communibus generis et speciei* Boeth. 12 post εἶδος add. μόνον $BCM^{2}a$: om ALM^{1} Dav. comment. Boeth. προτέροις CL Amm.: πρότερα ABa: πρότερ M 13 κατηγοροῦνται M 14 tit. om. M: Περὶ τῆς (τῆς om. A) διαφορᾶς τοῦ γ. καὶ τοῦ εἴδ. ABCL: Περὶ διαφορᾶς αὐτῶν a: *De propriis generis et speciei* Boeth. 15 ᾗ] ὅτι a περιέχει] *continet sub se* Boeth. 16 post εἴδους add. κατηγορεῖται BCa: om. ALM Boeth. 17 post δεῖ add. ἃ a: om. codd. Boeth. εἰδοποιοῖς om. M^{1} (suppl. m.^{2}) 19. 20 καὶ εἴδους μὲν ὄντος— ἐστὶ καὶ τὸ εἶδος] γένους μὲν γὰρ ὄντος πάντως ἐστὶ καὶ εἶδος, γένους δὲ μὴ ὄντος οὐ πάντως ἐστὶν εἶδος a, sed codicum et Boethii lectio comprobatur etiam commentariis Ammonii et Eliae 19 et 20 ἔστι] ἔσται B 20 τὸ om. C: καὶ τὸ om. El.

Περὶ τῆς κοινωνίας τοῦ γένους καὶ τοῦ ἰδίου. 5a

Γένους δὲ καὶ ἰδίου κοινὸν μὲν τὸ ἕπεσθαι τοῖς εἴδεσιν· εἰ γὰρ ἄνθρωπος, ζῷον, καὶ εἰ ἄνθρωπος, γελαστικόν. καὶ τὸ ἐπίσης κατηγορεῖσθαι τὸ γένος τῶν εἰδῶν καὶ τὸ ἴδιον τῶν αὐτοῦ μετεχόντων ἀτόμων· ἐπίσης γὰρ καὶ ὁ ἄνθρωπος καὶ ὁ βοῦς ζῷον καὶ Ἄνυτος καὶ Μέλητος γελαστικόν. κοινὸν δὲ καὶ τὸ συνωνύμως κατηγορεῖσθαι τὸ γένος τῶν οἰκείων εἰδῶν καὶ τὸ ἴδιον ὧν ἂν ᾖ ἴδιον.

Περὶ τῆς διαφορᾶς τοῦ γένους καὶ τοῦ ἰδίου.

Διαφέρει δὲ ὅτι τὸ μὲν γένος πρότερον, ὕστερον δὲ τὸ ἴδιον· δεῖ γὰρ εἶναι ζῷον, εἶτα διαιρεῖσθαι διαφοραῖς καὶ ἰδίοις. καὶ τὸ μὲν γένος κατὰ πλειόνων εἰδῶν κατηγορεῖται, τὸ δὲ ἴδιον ἑνὸς εἴδους, οὗ ἐστιν ἴδιον. καὶ τὸ μὲν ἴδιον ἀντικατηγορεῖται οὗ ἐστιν ἴδιον, τὸ δὲ γένος οὐδενὸς ἀντικατηγορεῖται· οὔτε γὰρ εἰ ζῷον, ἄνθρωπος, οὔτε εἰ ζῷον, γελαστικόν· εἰ δὲ ἄνθρωπος, γελαστικόν, καὶ ἔμπαλιν. ἔτι τὸ μὲν ἴδιον παντὶ τῷ εἴδει ὑπάρχει, οὗ ἐστιν ἴδιον, καὶ μόνῳ καὶ ἀεί, τὸ δὲ γένος παντὶ μὲν τῷ εἴδει, οὗ ἂν ᾖ γένος, καὶ ἀεί, οὐ μέντοι καὶ μόνῳ. ἔτι τὰ μὲν ἴδια ἀναιρούμενα οὐ συναναιρεῖ τὰ γένη, τὰ δὲ γένη ἀναιρούμενα συναναιρεῖ τὰ εἴδη, ὧν ἐστιν ἴδια, ὥστε καὶ ὧν ἐστιν ἴδια ἀναιρουμένων καὶ αὐτὰ συναναιρεῖται.

Περὶ τῆς κοινωνίας τοῦ γένους καὶ τοῦ συμβεβηκότος.

Γένους δὲ καὶ συμβεβηκότος κοινὸν τὸ κατὰ πλειόνων, ὡς εἴρηται, κατηγορεῖσθαι, ἄν τε τῶν χωριστῶν ᾖ ἄν τε τῶν ἀχωρίστων· καὶ γὰρ τὸ

1 tit. Περὶ τῆς κοινωνίας τοῦ γ. καὶ τοῦ ἰδ. ABL: κοινὰ γένους καὶ ἰδίου C: Περὶ τῶν κοινῶν γένους καὶ ἰδίου M Boeth.: Περὶ κοινωνιῶν γένους καὶ ἰδίου a 2. 3 post εἰ add. utrobique τι a: om. codd. Boeth. 3 εἰ (ante ἄνθρ.) om. M 3. 4 κατηγορεῖσθαι post γένος transpos. M 4 ἀτόμων om. B[1]C Boeth. (?): exhib. AB[2]LMa 5 καὶ (ante ὁ ἄνθρωπος) om. a: exhib. codd. Boeth. Μέλητος ABL[1]a: Μέλιτος CML[3] 7 ᾖ BL: εἴη ACMa 8 tit. Περὶ τῆς διαφορᾶς τοῦ γ. καὶ τοῦ ἰδ. ABCL: Περὶ τῆς διαφορᾶς αὐτῶν M: Περὶ διαφορᾶς γένους καὶ ἰδίου a: *De propriis generis et proprii* Boeth. 9 post διαφέρει add. τὸ γένος τοῦ ἰδίου Amm. 11 post κατηγορεῖται add. ὧν ἐστι γένος AB: om. CLMa Boeth. ante ἑνὸς add. καθ' BM: om. ACLa post ἑνὸς add. μόνου C: om. ABLMa Boeth. post εἴδους add. τινός a: om. codd. Boeth. καὶ codd. Boeth.: ἔτι a 12 οὐδενὸς BCLMa Boeth.: οὐκ A 13 ante ζῷον add. utrobique τι a supra scr. B: om. ACLM Boeth. ἄνθρωπος οὔτε εἰ ζῷον om. L 13. 14 εἰ δὲ ἄνθρ. codd. Boeth.: ὁ δὲ ἄνθρ. a 14 post ἔμπαλιν add. εἰ γελαστικόν, ἄνθρωπος C: om. ABLMa Boeth. ἔτι om. M[1] (suppl. in mrg. m.[2]) 16 ᾖ ABCLa: εἴη M τὰ μὲν ἴδια] *species quidem* Boeth. 17 τὰ δὲ γένη] *propria vero* Boeth. (?) τὰ εἴδη om. Boeth. 18 ὥστε— ἀναιρούμενων om. (ὧν ἀναιρουμένων superscr. m.[2]) B αὐτὰ ACLMa Boeth.: ταῦτα B 19 tit. Περὶ τῆς κοινωνίας τοῦ γένους καὶ τοῦ συμβεβηκότος ABCL: Περὶ τῶν κοινῶν γένους καὶ συμβεβηκότων M: Περὶ κοινωνίας γένους καὶ συμβεβηκότος a: *De communibus generis et accidentis* Boeth. 21 ᾖ ACLMa: εἴη B post γὰρ add. καὶ a: om. codd. Boeth.

κινεῖσθαι κατὰ πλειόνων καὶ τὸ μέλαν κατὰ κοράκων καὶ Αἰθιόπων καί τινων ἀψύχων.

Περὶ τῆς διαφορᾶς τοῦ γένους καὶ τοῦ συμβεβηκότος.

Διαφέρει δὲ τὸ γένος τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν γένος πρὸ τῶν εἰδῶν, τὰ δὲ συμβεβηκότα τῶν εἰδῶν ὕστερα· κἂν γὰρ ἀχώριστον λαμβάνηται συμβεβηκός, ἀλλ' οὖν πρότερόν ἐστι τὸ ᾧ συμβέβηκε τοῦ συμβεβηκότος. καὶ τοῦ μὲν γένους ἐπίσης τὰ μετέχοντα μετέχει, τοῦ δὲ συμβεβηκότος οὐκ ἐπίσης· ἐπίτασιν γὰρ καὶ ἄνεσιν ἐπιδέχεται ἡ τῶν συμβεβηκότων μέθεξις, ἡ δὲ τῶν γενῶν οὐκέτι. καὶ τὰ μὲν συμβεβηκότα ἐπὶ τῶν ἀτόμων προηγουμένως ὑφίσταται, τὰ δὲ γένη καὶ τὰ εἴδη φύσει πρότερα τῶν ἀτόμων οὐσιῶν. καὶ τὰ μὲν γένη ἐν τῷ τί ἐστι κατηγορεῖται τῶν ὑπ' αὐτά, τὰ δὲ συμβεβηκότα ἐν τῷ ποῖόν τι ἢ πῶς ἔχον ἕκαστον· ποῖος γὰρ Αἰθίοψ ἐρωτηθεὶς ἐρεῖς μέλας, καὶ πῶς ἔχει Σωκράτης ἐρεῖς ὅτι κάθηται ἢ περιπατεῖ.

Τὸ μὲν οὖν γένος ᾗ τῶν ἄλλων τεττάρων διαφέρει εἴρηται, συμβέβηκεν δὲ καὶ τῶν ἄλλων ἕκαστον διαφέρειν τῶν τεττάρων, ὥστε πέντε μὲν ὄντων, ἑνὸς δὲ ἑκάστου τῶν τεττάρων διαφέροντος, τετράκι τὰ πέντε, εἴκοσι γίνεσθαι τὰς πάσας διαφοράς. ἀλλ' οὐχ οὕτως ἔχει, ἀλλ' ἀεὶ τῶν ἐφεξῆς καταριθμουμένων καὶ τῶν μὲν δύο μιᾷ λειπομένων διαφορᾷ διὰ τὸ ἤδη εἰλῆφθαι, τῶν δὲ τριῶν δυσίν, τῶν δὲ τεττάρων τρισί, τῶν δὲ πέντε τέτρασι, δέκα αἱ πᾶσαι γίνονται διαφοραί, τέσσαρες, τρεῖς, δύο, μία. τὸ μὲν γὰρ γένος διαφέρει τῆς διαφορᾶς καὶ τοῦ εἴδους καὶ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος· τέσσαρες οὖν αἱ διαφοραί. ἡ διαφορὰ δὲ πῇ μὲν διενήνοχεν τοῦ γένους εἴρηται, ὅτε πῇ διαφέρει τὸ γένος αὐτῆς ἐρρέθη· λοιπὸν δὲ πῇ διαφέρει τοῦ εἴδους καὶ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος ῥηθήσεται, καὶ γίνονται τρεῖς. πάλιν τὸ εἶδος πῇ μὲν διαφέρει τῆς διαφορᾶς ἐρρέθη, ὅτε πῇ διαφέρει ἡ διαφορὰ τοῦ εἴδους ἐλέγετο· πῇ δὲ διαφέρει τὸ εἶδος

3 Περὶ τῆς διαφορᾶς τοῦ γ. καὶ τοῦ σ. ABL: Περὶ διαφορᾶς γένους καὶ σ. Ca: Περὶ διαφορᾶς αὐτῶν M: *De propriis generis et accidentis* Boeth. 4. 5 λαμβάνηται ACLMa Boeth.: λάβῃς B 5 post οὖν add. γε B post προτερόν ἐστι add. τῇ φύσει AB: om. CLMa Boeth. El. et Dav. comment. 5. 6 τοῦ συμβεβηκότος ex τὸ συμβεβηκός corr. A[1] 6 post μετέχοντα add. ἀεὶ A: om. BCLMa Boeth. El. comment. 7 ἐπιδέχεται ABLMa: δέχεται a 11 τι om. M[1]: eras. A post τι add. ἐστιν Ca Boeth.: om. ABLM ἔχον AM El. comment.: ἔχει CL Boeth.: ἔχον ἐστὶν C 12 ante Αἰθίοψ add. ὁ AM: om. BCLa El. et Dav. comment. ante μέλας add. ὅτι a: om. codd. Boeth. El. et Dav. comment. καὶ ACLM Boeth. El. et Dav. comment.: ἢ Ba ὅτι om. El. et Dav. comment. 13 κάθηται ἢ περιπατεῖ codd. Boeth. El. comment.: νοσεῖ ἢ ὑγιαίνει a 15 τῶν τεττάρων] *ab aliis quattuor* Boeth. 16 ante τεττάρων add. ἄλλων C Boeth. ante τετράκι add. ὡς B[2] τετράκι ALM[1]: τετράκις BCM[2]a τὰ om. B 16 γίνεσθαι BCLMa: γενέσθαι A διαφορὰς τὰς πάσας colloc. La ἀλλ' οὐχ οὕτως ἔχει om. Boeth. 18 καταριθμουμένων ACLMa Boeth.: κατηγορουμένων B δύο in ras. V fere litter. A[1]L[3]: δεύτερον M[1] λειπομένων CLa: ἀπολειπ. (sed ἀπὸ in ras.) A[1]: καταλειπ. BM 19 δυσίν BCLMa: δύο A 21 ᾗ (ante διαφέρει) et εἴρηται (post συμβεβηκότος) add. a: om. codd. Boeth. 22 δὲ ante διαφορὰ transpos. BM 23 ἐρέθη M[1] δὲ] *igitur* Boeth., unde corrigas δή 25 post πάλιν add. δὲ Ba: om. ACLM Boeth. 26 τὸ εἶδος post γένους transpos. B

τοῦ γένους ἐρρέθη, ὅτε πῇ διαφέρει τὸ γένος τοῦ εἴδους ἐλέγετο· λοιπὸν 5a οὖν πῇ διαφέρει τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος ῥηθήσεται· δύο οὖν καὶ αὗται αἱ διαφοραί. τὸ δὲ ἴδιον πῇ διαφέρει τοῦ συμβεβηκότος καταλειφθήσεται· πῇ γὰρ τοῦ εἴδους καὶ τῆς διαφορᾶς καὶ τοῦ γένους διαφέρει, 5b προειρημένον ἐστὶν ἐν τῇ ἐκείνων πρὸς αὐτὸ διαφορᾷ· τεσσάρων οὖν λαμβανομένων τοῦ γένους πρὸς τὰ ἄλλα διαφορῶν, τριῶν δὲ τῆς διαφορᾶς, δύο δὲ τοῦ εἴδους, μιᾶς δὲ τοῦ ἰδίου πρὸς τὸ συμβεβηκός, δέκα ἔσονται αἱ πᾶσαι, ὧν τὰς τέσσαρας, αἳ ἦσαν τοῦ γένους πρὸς τὰ ἄλλα, φθάσαντες ἀπεδείξαμεν.

Περὶ τῆς κοινωνίας τῆς διαφορᾶς καὶ τοῦ εἴδους.

Κοινὸν τοίνυν διαφορᾶς καὶ εἴδους τὸ ἐπίσης μετέχεσθαι· ἀνθρώπου τε γὰρ ἐπίσης μετέχουσιν οἱ κατὰ μέρος ἄνθρωποι καὶ τῆς τοῦ λογικοῦ διαφορᾶς. κοινὸν δὲ καὶ τὸ ἀεὶ παρεῖναι τοῖς μετέχουσιν· ἀεὶ γὰρ Σωκράτης λογικός, καὶ ἀεὶ Σωκράτης ἄνθρωπος.

Περὶ τῆς διαφορᾶς τοῦ εἴδους καὶ τῆς διαφορᾶς.

Ἴδιον δὲ διαφορᾶς μὲν τὸ ἐν τῷ ποιόν τί ἐστι κατηγορεῖσθαι, εἴδους δὲ τὸ ἐν τῷ τί ἐστιν· κἂν γὰρ ὁ ἄνθρωπος ὡς ποιὸν λαμβάνηται, οὐχ ἁπλῶς ἂν εἴη ποιόν, ἀλλὰ καθὸ τῷ γένει προσελθοῦσαι αἱ διαφοραὶ ὑπέστησαν αὐτό. ἔτι ἡ μὲν διαφορὰ ἐπὶ πλειόνων πολλάκις εἰδῶν θεωρεῖται, ὡς τὸ τετράπουν ἐπὶ πλείστων ζῴων τῷ εἴδει διαφερόντων, τὸ δὲ εἶδος ἐπὶ μόνων τῶν ὑπὸ τὸ εἶδος ἀτόμων ἐστίν. ἔτι ἡ διαφορὰ προτέρα τοῦ κατ' αὐτὴν εἴδους· συναναιρεῖ γὰρ τὸ λογικὸν ἀναιρεθὲν τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος ἀναιρεθεὶς οὐκ ἀνῄρηκεν τὸ λογικόν, ὄντος θεοῦ. ἔτι διαφορὰ μὲν συντίθεται μετὰ ἄλλης διαφορᾶς· τὸ λογικὸν γὰρ καὶ τὸ θνητὸν συνετέθη

1 ὅτε — ἐλέγετο om. B 2 post διαφέρει add. τὸ εἶδος a: om. codd. Boeth. 3 αἱ om. AM: add. BCLa 3. 4 καταλειφθήσεται] καταληφθήσεται A¹: *relinquitur* Boeth. 4 πῇ γὰρ om. B 5 πρὸς] πρὸ M αὐτὸ ABCL Boeth: αὐτὸ ex αὐτὰ corr. M²: αὐτὰ a 7. 8 αἱ πᾶσαι ABCMa: ἅπασαι L 8 τὰς om. M 10 tit. om. C: Περὶ τῆς κοινωνίας τῆς δ. καὶ τοῦ εἰδ. ABL: Περὶ κοινῶν εἴδους καὶ διαφορᾶς M: Περὶ κοινωνίας καὶ διαφορᾶς εἴδους καὶ διαφορᾶς a: *De communibus differentiae et speciei* Boeth. 11 Κοινὸν BLa Boeth.: κοινὰ ACM τῆς διαφορᾶς καὶ τοῦ εἴδους a 12 γὰρ om. M: exhib. ABCLa Boeth. 15 tit. om. Ba: Περὶ τῆς διαφορᾶς τοῦ εἰδ. καὶ τῆς δ. ACL: Περὶ τῶν ἰδίων εἴδους καὶ διαφορᾶς M: *De propriis differentiae et speciei* Boeth. 16 ἐστι om. AM El. comm. (?): exhib. BCLa Boeth. 17 ἐν τῷ iter. B post ποιὸν add. τι a: om. codd. Boeth. ante οὐχ add. ἀλλ' B: om. ACLMa Boeth. 19 αὐτὸ codd. Boeth.: αὐτόν a 20 πλείστων ACLMa: πλειόνων B Boeth. διαφερόντων τῷ εἴδει colloc. a 21 μόνον L¹ ὑπὸ τὸ εἶδος ABCLa Boeth.: ὑπ' αὐτὸ M ἀτόμων om. B (suppl. in mrg. m.²) ἐστίν om. M ante διαφορὰ add. μὲν a: om. codd. Boeth. 22 αὐτὴν BCLMa Boeth. El. comm.: αὐτῆς A 23 θεοῦ Boeth.: ἀγγέλου καὶ θεοῦ B: ἀγγέλου ACLMa: θεοῦ ἀγγέλου El. comment. 24 τὸ om. LMa: add. ABC El. comm. τὸ (ante θνητὸν) om. ALMa: exhib. BC El. comm.

εἰς ὑπόστασιν ἀνθρώπου· εἶδος δὲ εἴδει οὐ συντίθεται, ὥστε ἀπογεννῆσαι 5b ἄλλο τι εἶδος· τὶς μὲν γὰρ ἵππος τινὶ ὄνῳ σύνεισιν εἰς ἡμιόνου γένεσιν, ἵππος δὲ ἁπλῶς ὄνῳ οὐκ ἂν συντεθεὶς ἀποτελέσειεν ἡμίονον.

Περὶ τῆς κοινωνίας τῆς διαφορᾶς καὶ τοῦ ἰδίου.

Διαφορὰ δὲ καὶ ἴδιον κοινὸν μὲν ἔχουσι τὸ ἐπίσης μετέχεσθαι ὑπὸ τῶν μετεχόντων· ἐπίσης γὰρ τὰ λογικὰ λογικὰ καὶ τὰ γελαστικὰ 25 γελαστικά. καὶ τὸ ἀεὶ καὶ παντὶ παρεῖναι κοινὸν ἀμφοῖν· κἂν γὰρ κολοβωθῇ ὁ δίπους, ἀλλὰ πρὸς τὸ πεφυκέναι τὸ ἀεὶ λέγεται, ἐπεὶ καὶ τὸ γελαστικὸν τῷ πεφυκέναι ἔχει τὸ ἀεί, ἀλλ' οὐχὶ τῷ γελᾶν ἀεί.

Περὶ τῆς διαφορᾶς τοῦ ἰδίου καὶ τῆς διαφορᾶς.

Ἴδιον δὲ διαφορᾶς ὅτι αὕτη μὲν ἐπὶ πλειόνων εἰδῶν λέγεται πολλάκις, 30 οἷον τὸ λογικὸν καὶ ἐπὶ θεοῦ καὶ ἐπὶ ἀνθρώπου, τὸ δὲ ἴδιον ἐφ' ἑνὸς εἴδους, οὗ ἐστιν ἴδιον. καὶ ἡ μὲν διαφορὰ ἕπεται ἐκείνοις, ὧν ἦν διαφορά, οὐ μὴν καὶ ἀντιστρέφει· τὰ δὲ ἴδια ἀντικατηγορεῖται ὧν ἂν ᾖ ἴδια διὰ τὸ ἀντιστρέφειν.

Περὶ τῆς κοινωνίας τῆς διαφορᾶς καὶ τοῦ συμβεβηκότος.

Διαφορᾷ δὲ καὶ συμβεβηκότι κοινὸν μὲν τὸ ἐπὶ πλειόνων λέγεσθαι, 35 κοινὸν δὲ πρὸς τὰ ἀχώριστα συμβεβηκότα τὸ ἀεὶ καὶ παντὶ προσεῖναι· τό τε γὰρ δίπουν ἀεὶ πρόσεστι πᾶσι κόραξι τό τε μέλαν ὁμοίως.

Περὶ τῶν ἰδίων διαφορᾶς καὶ συμβεβηκότος.

Διαφέρουσι δὲ ὅτι ἡ μὲν διαφορὰ περιέχει, οὐ περιέχεται δέ·

---

1 ante ἀνθρώπου add. τοῦ Brand.: om. libri omnes 2 τι om. AL: add. BCMa Boeth. γένεσιν AB[1]CL El.: γέννησιν B[2]Ma 3 ὄνῳ et συντεθεὶς eras. et in mrg. suppl B[2] οὐκ ἂν post συντεθεὶς transpos. a 4 tit. Περὶ τῆς κοινωνίας τῆς δ. καὶ τοῦ ἰδ. ABCL: Περὶ τῶν κοινῶν διαφορᾶς καὶ ἰδίου M Boeth.: Περὶ κοινωνίας καὶ διαφορᾶς ἰδίου καὶ διαφορᾶς a 8 post δίπους add. *non substantiam perimit* Boeth. (?) τὸ (ante ἀεί) om. M: supra scr. L[1] καὶ τὸ supra scr. M[1] 9 τῷ (ante πεφυκέναι) om. BL[1]: add. ACL[3]Ma 10 tit. om. a: Περὶ τῆς διαφορᾶς τοῦ ἰδ. καὶ τῆς δ. ABL: Περὶ διαφορᾶς τοῦ ἰδ. καὶ τῆς δ. C: Περὶ τῶν κοινῶν διαφορᾶς καὶ ἰδίου M Boeth. 11 post πολλάκις add. ὡς εἴρηται C: om. ABLMa Boeth. 12 καὶ (post λογικὸν) om. Ma Boeth.: add. ABCL ἐπὶ θεοῦ καὶ ἐπὶ ἀνθρώπου scripsi: *de homine* et *de deo* Boeth.: ἐπὶ ἀγγέλου καὶ ἐπὶ ἀνθρώπου ABLMa: ἐπὶ ἀγγέλου καὶ ἀνθρώπου C: ἐπὶ θεοῦ καὶ ἀγγέλου καὶ ἀνθρώπου El. comment. ἑνὸς] *una sola* Boeth. 13 ἦν ABLM: ἐστι a Boeth.: ἡ C: εἴη El. comm. corrigas ἂν ᾖ 14 post μὴν add. δὲ B καὶ om. M Boeth.: exhib. ABCLa El. comm. ἀντικατηγορεῖται ACMa Boeth. El. comm.: κατηγορεῖται BL ἂν ᾖ scripsi: ἂν ἦν BL: ἂν εἴη C: ἦν Aa: ἐστιν M El. comm. 16 tit. Περὶ τῆς κοινωνίας τῆς δ. καὶ τοῦ σ. ABCL: Περὶ κοινῶν διαφορᾶς καὶ συμβεβηκότος M Boeth.: Περὶ κοινωνίας καὶ διαφορᾶς συμβεβηκότος καὶ διαφορᾶς a 17 post δὲ add. καὶ a: om. codd. Boeth. 19 ante πᾶσι supra scr. καὶ M[2]: add. τῷ ἀνθρώπῳ καὶ a: om. ABCL Boeth. post πᾶσι add. τοῖς C: om. ABLMa μέλαν AB[1]CL: μέλαν εἶναι M: μέλασιν εἶναι B[2]a 20 tit. om. A[1]BCLa: exhib. M Boeth.: Περὶ διαφορᾶς τῶν αὐτῶν in mrg. A[3] 21 διαφέρει a ἡ μὲν] εἰ μὲν B post περιέχει add. τὰ εἴδη ABCLa: om M Boeth. El. comm.

περιέχει γὰρ τὸ λογικὸν τὸν ἄνθρωπον· τὰ δὲ συμβεβηκότα τρόπον μέν τινα 5b περιέχει τῷ ἐν πλείοσιν εἶναι, τρόπον δέ τινα περιέχεται τῷ μὴ ἑνὸς συμβεβηκότος εἶναι δεκτικὰ τὰ ὑποκείμενα, ἀλλὰ πλειόνων. καὶ ἡ μὲν διαφορὰ ἀνεπίτατος καὶ ἀνάνετος, τὰ δὲ συμβεβηκότα τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται. καὶ ἀμιγεῖς μὲν αἱ ἐναντίαι διαφοραί, μιγείη δ' ἂν τὰ ἐναντία συμβεβηκότα.

Τοιαῦται μὲν οὖν αἱ κοινότητες καὶ αἱ ἰδιότητες τῆς διαφορᾶς καὶ τῶν ἄλλων. τὸ δὲ εἶδος πῇ μὲν διαφέρει γένους καὶ διαφορᾶς, εἴρηται ἐν ᾧ ἐλέγομεν, πῇ τὸ γένος διαφέρει τῶν ἄλλων καὶ πῇ ἡ διαφορὰ διαφέρει τῶν ἄλλων. |

Περὶ τῆς κοινωνίας τοῦ εἴδους καὶ τοῦ ἰδίου. 6a

Εἴδους δὲ καὶ ἰδίου κοινὸν τὸ ἀλλήλων ἀντικατηγορεῖσθαι· εἰ γὰρ ἄνθρωπος, γελαστικόν, καὶ εἰ γελαστικόν, ἄνθρωπος· τὸ γελαστικὸν δὲ ὅτι κατὰ τὸ πεφυκέναι γελᾶν ληπτέον, πολλάκις εἴρηται· ἐπίσης τε γάρ ἐστι τὰ εἴδη τοῖς μετέχουσι καὶ τὰ ἴδια ὧν ἐστιν ἴδια.

Περὶ τῆς διαφορᾶς τοῦ εἴδους καὶ τοῦ ἰδίου.

Διαφέρει δὲ τὸ εἶδος τοῦ ἰδίου, ὅτι τὸ μὲν εἶδος δύναται ἄλλων γένος εἶναι, τὸ δὲ ἴδιον εἶναι ἄλλων ἴδιον ἀδύνατον. καὶ τὸ μὲν εἶδος προϋφέστηκεν τοῦ ἰδίου, τὸ δὲ ἴδιον ἐπιγίνεται τῷ εἴδει· δεῖ γὰρ ἄνθρωπον εἶναι, ἵνα καὶ γελαστικὸν ᾖ. ἔτι τὸ μὲν εἶδος ἀεὶ ἐνεργείᾳ πάρεστι τῷ ὑποκειμένῳ, τὸ δὲ ἴδιόν ποτε καὶ δυνάμει· ἄνθρωπος μὲν γὰρ ἀεὶ ἐνεργείᾳ ὁ Σωκράτης ἐστίν, γελᾷ δὲ οὐκ ἀεί, καίπερ ἀεὶ πεφυκὼς εἶναι γελαστικός. ἔτι ὧν οἱ ὅροι διάφοροι, καὶ αὐτὰ διάφορά ἐστιν· ἔστιν δὲ εἴδους μὲν τὸ

1 ante τὸν ἄνθρωπον add. τὸν ἄγγελον καὶ Ca: post τὸν ἄνθρωπον add. καὶ τὸν ἄγγελον ABLM²: om. M¹ Boeth. Amm. et El. comment. τὰ δὲ συμβεβηκότα BCLMa Boeth. El. comment.: τὸ δὲ συμβεβηκὸς A 2 τῷ utrobique ex τὸ corr. A¹ ἐμπεριέχεται C 3 εἶναι post δεκτικὰ transpos. M 4 post ἀνεπίτατος add. τε a καὶ ἀνάνετος, τὰ δὲ συμβ. τὸ om. B¹ (suppl. m.² in mrg.) τὸ (ante ἧττον) om. a: exhib. ABCLM El. comment. 5 post ἂν add. ποτε ABa: om. CLM Boeth. El. comment. οὖν om. a ante κοινότητες et ante διαφορᾶς add. τε B² καὶ αἱ ἰδιότητες A: καὶ ἰδιότητες B²CMa: om. B¹L 9 γένος—διαφορὰ] διαφέρει τῶν ἄλλων om., καὶ πῇ ἡ διαφορὰ del. et καὶ ἡ διαφορὰ superscr. B¹ 10 post ἄλλων add. λοιπόν, πῇ διαφέρει τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος, ῥηθήσεται a: om. codd. Boeth. 11 tit. Περὶ τῆς κοινωνίας τοῦ εἴδ. καὶ τοῦ ἰδ. ABCL: Περὶ κοινῶν εἴδους καὶ ἰδίου M Boeth.: Περὶ κοινωνίας καὶ διαφορᾶς εἴδους καὶ ἰδίου a 12 post κοινὸν add. μὲν Ba: om. ACLM Boeth. post εἰ add. utrobique τι a om. codd. Boeth. El. comment. 13 ὅτι] *quoniam et* Boeth. 14 post εἴρηται add. κοινὸν δὲ καὶ τὸ ἐπ' ἴσης εἶναι a: om. codd. Boeth. γάρ ἐστι AB Boeth. (cf. p. 22,8): πάρεστι CL: γὰρ πάρεστι Ma 16 tit. om. a: Περὶ τῆς διαφορᾶς τοῦ εἴδ. καὶ τοῦ ἰδ. ABL: Περὶ διαφορᾶς τοῦ εἴδ. καὶ ἰδ. C: Περὶ τῶν ἰδίων εἴδους καὶ ἰδίου M Boeth. 17 post δύναται add. καὶ BM Boeth.: om. ACLa El. comm. 18 εἶναι post ἄλλων transpos. BMa: post ἴδιον (alterum) A 18. 19 προϋφέστηκεν] ν m.² A 20 καὶ om. Ma Boeth. 21 ἐνεργείᾳ post Σωκράτης transpos. BC 23 ἐστιν (post διαφορά) om. BMa: exhib. ACL Boeth. εἴδους μὲν] *speciei semper et* Boeth. (?)

ὑπὸ τὸ γένος εἶναι καὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν 6a τῷ τί ἐστιν κατηγορούμενον εἶναι καὶ ὅσα τοιαῦτα, ἰδίου δὲ τὸ μόνῳ καὶ ἀεὶ καὶ παντὶ προσεῖναι.

Περὶ τῆς κοινωνίας τοῦ εἴδους καὶ τοῦ συμβεβηκότος.

Εἴδους δὲ καὶ συμβεβηκότος κοινὸν μὲν τὸ ἐπὶ πολλῶν κατηγορεῖσθαι, σπάνιοι δὲ αἱ ἄλλαι κοινότητες διὰ τὸ πλεῖστον ἀλλήλων διεστάναι τό τε συμβεβηκὸς καὶ τὸ ᾧ συμβέβηκεν.

Περὶ τῆς διαφορᾶς τῶν αὐτῶν.

Ἴδια δὲ ἑκατέρου, τοῦ μὲν εἴδους τὸ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι ὧν ἐστιν εἶδος, τοῦ δὲ συμβεβηκότος τὸ ἐν τῷ ποῖόν ἢ πῶς ἔχον. καὶ τὸ ἑκάστην οὐσίαν ἑνὸς μὲν εἴδους μετέχειν, συμβεβηκότων δὲ πλειόνων, τῶν τε χωριστῶν καὶ τῶν ἀχωρίστων. καὶ τὰ μὲν εἴδη προεπινοεῖται τῶν συμβεβηκότων, κἂν ἀχώριστα ᾖ (δεῖ γὰρ εἶναι τὸ ὑποκείμενον, ἵνα ἐκείνῳ 6b τι συμβῇ)· τὰ δὲ συμβεβηκότα ὑστερογενῆ πέφυκεν καὶ ἐπεισοδιώδη τὴν φύσιν ἔχει. καὶ τοῦ μὲν εἴδους ἡ μετοχὴ ἐπίσης, τοῦ δὲ συμβεβηκότος, κἂν ἀχώριστον ᾖ, οὐκ ἐπίσης· καὶ γὰρ Αἰθίοψ Αἰθίοπος ἔχοι ἂν τὴν χροιὰν ἢ ἀνειμένην ἢ ἐπιτεταμένην κατὰ μελανίαν.

Λείπεται δὴ περὶ ἰδίου καὶ συμβεβηκότος εἰπεῖν· πῇ γὰρ τὸ ἴδιον τοῦ τε εἴδους καὶ τῆς διαφορᾶς καὶ τοῦ γένους διενήνοχεν, εἴρηται.

Περὶ τῆς κοινωνίας τοῦ ἰδίου καὶ τοῦ ἀχωρίστου συμβεβηκότος.

Κοινὸν δὴ τῷ ἰδίῳ καὶ τῷ ἀχωρίστῳ συμβεβηκότι τὸ ἄνευ αὐτῶν μὴ ὑποστῆναι ἐκεῖνα, ἐφ' ὧν θεωρεῖται· ὡς γὰρ ἄνευ τοῦ γελαστικοῦ οὐχ

1 τὸ (ante γένος) om. B^1 2 εἶναι om. A: exhib. BCLMa: *praedicari* Boeth. 2. 3 καὶ παντὶ καὶ ἀεὶ colloc. Ma 4 tit. Περὶ τῆς κοινωνίας τοῦ εἴδ. καὶ τοῦ συμβ. ABCL: Περὶ τῶν κοινῶν εἴδους καὶ συμβ. M Boeth.: Περὶ κοινωνίας καὶ διαφορᾶς εἴδους καὶ συμβ. a 5 πολλῶν ACL El. comment.: πλειόνων BMa Boeth. 8 tit. om. a: Περὶ τῆς διαφορᾶς τῶν αὐτῶν ACL: Περὶ τῆς διαφορᾶς τοῦ εἴδους καὶ τοῦ συμβεβηκότος B: Περὶ τῶν ἰδίων εἴδους καὶ συμβ. M Boeth. 10 post ποῖον add. τι El. comment.: τί ἐστιν BCa Boeth.: om. ALM post ἔχον add. ἐστιν a 12 τῶν (ante ἀχωρίστων) om. M εἶναι om. M^1 (suppl. m.^{2} in mrg.) 14 post ὑστερογενῆ add. εἶναι B post καὶ add. ἐν B πέφυκεν] ν m.^{2} A ἐπεισοδιώδη AB^{2}L Boeth. (*adventiciae naturae*): ἐπουσιώδη B^{1}Ca supra litura M^2 15 ἔχει om. CM Boeth.: exhib. ABLa 16 ante Αἰθίοψ add. ὁ AB^{2}M: om. B^{1}CLa Αἰθίοπος] *alio Aethiope* Boeth. ἂν eras. B: ante ἔχοι transpos. C χροιὰν ABMa: χρόαν CL ἢ om. B 18 δὴ A^{2}BCL Boeth.: δὲ A^{1}Ma ante ἰδίου add. τοῦ A: om. BCLMa πῇ ex corr. B^2 19 τε om. B καὶ τοῦ γένους om. BL: exhib. ACMa Boeth. 20 tit. Περὶ τῆς κοινωνίας τοῦ ἰδ. καὶ τοῦ ἀχ. συμβ. ABL: Περὶ κοινωνίας τοῦ ἰδ. καὶ τοῦ ἀχ. συμβ. C: Περὶ τῶν κοινῶν ἰδίου καὶ συμβ. M Boeth.: Περὶ κοινωνίας καὶ διαφορᾶς ἰδίου καὶ συμβ. a 22 post μὴ add. ἂν B: om. ACLMa

ὑφίσταται ἄνθρωπος, οὕτως οὐδὲ ἄνευ τοῦ μέλανος ὑποσταίη ἂν Αἰθίοψ. 6b καὶ ὥσπερ παντὶ καὶ ἀεὶ πάρεστι τὸ ἴδιον, οὕτως καὶ τὸ ἀχώριστον συμβεβηκός.

Περὶ τῆς διαφορᾶς τῶν αὐτῶν.

Διενήνοχεν δὲ ὅτι τὸ μὲν ἴδιον μόνῳ ἑνὶ εἴδει πάρεστιν ὡς τὸ γελαστικὸν ἀνθρώπῳ, τὸ δὲ ἀχώριστον συμβεβηκὸς οἷον τὸ μέλαν οὐκ Αἰθίοπι μόνον ἀλλὰ καὶ κόρακι πρόσεστι καὶ ἄνθρακι καὶ ἐβένῳ καὶ ἄλλοις τισίν. διὸ τὸ μὲν ἴδιον ἀντικατηγορεῖται οὗ ἐστιν ἴδιον καὶ ἔστιν ἐπίσης, τὸ δὲ ἀχώριστον συμβεβηκὸς οὐκ ἀντικατηγορεῖται. καὶ τῶν μὲν ἰδίων ἐπίσης ἡ μετοχή, τῶν δὲ συμβεβηκότων ἡ μὲν μᾶλλον ἡ δὲ ἧττον.

Εἰσὶν μὲν οὖν καὶ ἄλλαι κοινότητές τε καὶ ἰδιότητες τῶν εἰρημένων, ἀλλ' ἐξαρκοῦσι καὶ αὗται εἰς διάκρισίν τε αὐτῶν καὶ τῆς κοινωνίας παράστασιν.

Ἀ. Οἱ περὶ Ἀθηνόδωρον καὶ Κορνοῦτον οἱ τὰ ζητούμενα περὶ τῶν λέξεων καθὸ λέξεις, οἷα τὰ κύρια καὶ τὰ τροπικὰ καὶ ὅσα τοιαῦτα, (διαφοραὶ γάρ ἐστι λέξεων καθὸ λέξεις εἰσί) τὰ τοιαῦτα οὖν προφέροντες καὶ ποίας ἐστὶ κατηγορίας ἀποροῦντες καὶ μὴ εὑρίσκοντες ἐλλιπῆ φασιν εἶναι τὴν διαίρεσιν, ὡς ἂν μὴ πάσης φωνῆς σημαντικῆς εἰς αὐτὴν περιλαμβανομένης.

Ἐ. Ἆρα οὖν πάντες ἐσφάλησαν περὶ τὴν πρόθεσιν τῆς τῶν κατηγοριῶν γνώσεως;

Ἀ. Οὐδαμῶς· ἀλλὰ καὶ Βόηθος ἐν τοῖς εἰς τὰς Κατηγορίας εἴρηκεν ταῦτα καὶ Ἑρμῖνος βραχέως.

Ἐ. Εἰπὲ τὰ Ἑρμίνου, ἐπείπερ αὐτὰ φῂς διὰ βραχέων εἰρῆσθαι.

Ἀ. Λέγει τοίνυν ὁ Ἑρμῖνος προκεῖσθαι οὔτε περὶ τῶν ἐν τῇ φύσει πρώτων καὶ γενικωτάτων γενῶν (οὐ γὰρ νέοις προσήκουσα ἡ τῶν τοιούτων διδασκαλία) οὔτε τίνες αἱ πρῶται καὶ στοιχειώδεις τῶν λεγομένων διαφοραί, ὡς τὸν λόγον εἶναι δοκεῖν περὶ τῶν τοῦ λόγου μερῶν, ἀλλὰ μᾶλλον περὶ τῆς καθ' ἕκαστον γένος τῶν ὄντων οἰκείας ἂν ἐσομένης τῶν λεγομένων κατηγορίας· διὸ καὶ ἀναγκαῖον ἐγένετο ἀμωσγέπως ἅψασθαι τῶν γενῶν, ἐφ' ἅπερ ἡ τῶν κατηγορουμένων ἀναφορά· ἀδύνατον γὰρ τὴν ἑκάστου οἰκείαν σημασίαν γνώριμον εἶναι μηδεμιᾶς αὐτῷ προλήψεως προυποκειμένης. διὰ τοῦτο δὲ καὶ ἡ ἐπιγραφὴ Κατηγορία, δηλωτικὴ οὖσα τῆς ἑκάστῳ γένει συνημμένης οἰκείας σημασίας. ὅτι δὲ αὐτὰ τὰ γένη τὸν ἀριθμὸν δέκα, προϊὼν ὁ λόγος δηλώσει· ταύτῃ δὲ καὶ ὁ ἀριθμὸς ὁ τῶν κατηγοριῶν δέκα. ὁ δὲ ἐπιγράφων Περὶ δέκα γενῶν οὐδὲ αὐτὸς ἀπεικότως, εἰ μόνον πρὸς τὴν ἐπὶ τὰ γένη ἀναφορὰν ποιοῖτο τὴν ἐπιγραφήν, ἀλλὰ μὴ ὅτι προηγουμένως περὶ τῶν δέκα γενῶν νομίζοι.

Ἐ. Ἀλλ' εἰ περὶ τῶν δέκα κατηγοριῶν ὁ λόγος, διὰ τί οὐκ ἀπὸ τούτων τὴν ἀρχὴν τῆς διδασκαλίας πεποίηται, ἀλλὰ περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων; ὅμοιος γάρ ἐστι τῷ ἄλλο μὲν ὑποσχομένῳ, διδόντι δὲ ἕτερον. 5r

1 τροπικὴν M: τοπικὴν p 3 τῶν M: om. p 7 παριεῖσαν p: παρειῆσαν M 11 διαφοραὶ] διαφορὰ Brandis 12 ποιᾶς M 19 βραχέων scripsi: βραχέως Mp εἰρεῖσθαι M 20 Ἑρμῆνος p 21 γενηκωτάτων M 23 τὸν λόγον superscr. D²: τῶν λόγων Mp 28 ἡ M: om. p 33 νομίζοι M: μομίζει p 35 καὶ (post ὁμωνύμων) Zp: abscis. M 36 ἄλλω M (superscr. ο) ὑποσχομένῳ Zp: —ποσχο— oblitt. M

Α. Ἀλλ' οὔτε περιττεύων οὔτε ἐπιλελησμένος τοῦ σκοποῦ περὶ τούτου ποιεῖται πρῶτον λόγον, ἀλλὰ τὰ ἀναγκαῖα πρὸς τὴν παράδοσιν τῶν κατηγοριῶν προεκτίθεται, ἵνα μὴ διὰ μέσου ἐκδιδάσκων παρεκβάσεις ποιοῖ καὶ διακόπτοι τὸ συνεχές. ὥσπερ οὖν οἱ γεωμέτραι προεκτίθενται ὅρους τινὰς καὶ ἀξιώματα καὶ αἰτήματα καὶ διαιρέσεις, ἃ χρήσιμά ἐστι προλαβόντα μαθεῖν εἰς σαφήνειαν τῶν θεωρημάτων, οὕτω καὶ ὁ Ἀριστοτέλης προλαμβάνει τὰ περὶ τῶν ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων καὶ πάντα ἐφεξῆς χρησιμώτατα πρὸς αὐτὴν τὴν τῶν κατηγοριῶν παράδοσιν, τινὰ δὲ καὶ μετὰ τὴν τῶν κατηγοριῶν παράδοσιν ἐπιδιδάσκων. ὧν τὸ χρήσιμον ἐν τῷ τόπῳ χρὴ παριστάναι.

Ε. Τὸ μὲν χρήσιμον τῶν προλεγομένων εἰς τὴν παράδοσιν τῶν κατηγοριῶν παραστήσεις, νῦν δὲ λέγε, τί βούλεται τὰ ὁμώνυμα καὶ τὰ συνώνυμα καὶ εἴ τινα ἄλλα ἐστὶ τῆς τοιαύτης συστοιχίας, τί βούλεται ἕκαστον καὶ πόθεν καὶ πῶς ὑπέστη;

Α. Φημὶ τοίνυν ὅτι παντὸς πράγματος ὄνομα καὶ ὁρισμὸν ἢ ὑπογραφὴν ἔχοντος, οἷον τοῦδε μὲν τοῦ πράγματος ὄνομα ἔχοντος ἄνθρωπος καὶ δηλουμένου δι' αὐτοῦ, ἔστιν αὐτοῦ καὶ ὁ ὁρισμός· λέγομεν γὰρ ἄνθρωπον εἶναι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· δηλοῦται γὰρ ἕκαστον τῶν πραγμάτων καὶ δι' ὀνόματος καὶ διὰ λόγου τοῦ ὁριστικοῦ καὶ παραστατικοῦ τῆς οὐσίας αὐτοῦ, ὡς ὅταν τὴν φωνὴν λέγωμεν τὸ ἴδιον αἰσθητὸν ἀκοῆς· παντὸς οὖν πράγματος καὶ ὄνομα καὶ λόγον ὁριστικὸν ἔχοντος σχέσεις ἐν τοῖς πράγμασι τῶν τοιούτων λόγων πρὸς τὰ ὀνόματα γίνονται τέσσαρες· τὰ γὰρ πράγματα ἢ καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου τοῦ αὐτοῦ κοινωνεῖ, ἢ τοῦ μὲν ὀνόματος οὐ μέντοι τοῦ λόγου, ἢ τοῦ μὲν λόγου τοῦ δὲ ὀνόματος οὔ, ἢ οὔτε τοῦ λόγου οὔτε τοῦ ὀνόματος. καὶ ὅταν μὲν τοῦ αὐτοῦ ὀνόματος κοινωνῇ τὰ πράγματα τοῦ δὲ λόγου μηδαμῶς, ὁμώ- 5v νυμα καλεῖται, ὅταν δὲ καὶ τοῦ λόγου καὶ τοῦ ὀνόματος, συνώνυμα τὰ τοιαῦτα προσαγορεύεται διὰ τὸ ὥσπερ σὺν τῷ ὀνόματι καὶ τὸν λόγον ἔχειν τὸν αὐτόν. ὅταν δὲ τοῦ μὲν λόγου κοινωνῇ τοῦ αὐτοῦ τοῦ δὲ ὀνόματος μή, πολυώνυμα ταῦτα καλεῖται. ἐπειδὰν δὲ μήτε τοῦ ὀνόματος μήτε τοῦ λόγου, ἑτερώνυμα καλεῖται. πέμπτος δέ ἐστι τρόπος, ὅταν τινὰ ἕτερα ὄντα ἀπὸ ἑτέρων γένηται μετέχοντά πως καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου, διαφέροντα δὲ τῷ μετασχηματισμῷ, ἃ καὶ καλεῖται παρώνυμα.

Ε. Ἆρα οὖν πάντων μέμνηται ὁ Ἀριστοτέλης;

Α. Οὐδαμῶς.

Ε. Τίνων οὖν μέμνηται;

Α. Ὁμωνύμων, συνωνύμων, παρωνύμων· οὔτε δὲ τῶν πολυωνύμων οὔτε δὲ τῶν ἑτερωνύμων μέμνηται.

1 περιττεύων οὔτε Zp: —εύων οὖ— oblitt. M ἐπιλελησμένως M 2 τὸν λόγον coni. Diels (cf. p. 61,12) 3 ποιεῖ (sed διακόπτοι) M 7 an πάντα τὰ? 8 post χρησιμώτατα desideratur ὄντα 8. 9 τινὰ δὲ—παράδοσιν M: om. p 13 ἄλλα M: om. p συστοιχείας M 17 ὁ M: om. p 27 τὰ M: om. p 28 προσαγορεύηται p 29 τὸν αὐτόν scripsi: ταυτόν Mp 30 ἐπεὶ δ' ἂν δὲ M 31 ὅτἂν M: ὅσ' ἂν p 37 συνωνύμων om. M (suppl. m² in mrg.) 38 δὲ M: om. p (cf. p. 72,12. 13)

'Ε. Διὰ τί;

'Α. Ὅτι τούτων οὐκ ἔχρῃζεν εἰς τὰ ἑξῆς, ὧν δὲ ἔχρῃζεν τούτων ἐμνημόνευσεν.

'Ε. Ἀπὸ τίνων οὖν ἤρξατο;

'Α. Ἀπὸ τῶν ὁμωνύμων.

'Ε. Διὰ τί οὖν ἀπὸ τῶν ὁμωνύμων καὶ οὐκ ἀπὸ τῶν συνωνύμων, εἴπερ τὰ συνώνυμα καὶ ὀνόματος τοῦ αὐτοῦ κοινωνεῖ καὶ τοῦ λόγου, σαφέστερον δὲ τὸ κατ' ἄμφω κοινωνοῦν καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου τοῦ κατὰ μόνου τοῦ ὀνόματος κοινωνοῦντος;

'Α. Φημὶ ὅτι ἐπεὶ τὸ ὂν ὁμώνυμον δοκεῖ εἶναι τῷ Ἀριστοτέλει καὶ αἱ κατηγορίαι ὁμωνύμως λέγονται κατηγορίαι καθ' ὧν κατηγοροῦνται, διὰ τοῦτο πρῶτον περὶ τῶν ὁμωνύμων ποιεῖται τὸν λόγον.

'Ε. Διὰ τί οὖν οὐ περὶ ὁμωνυμίας πρότερον ποιεῖται τὸν λόγον ἀλλὰ περὶ ὁμωνύμων, εἴπερ ὁμωνυμία μὲν φωνή, ὁμώνυμα δὲ τὰ πράγματα, φὴς δὲ αὐτὸν προηγουμένως περὶ φωνῶν ἐνίστασθαι τὴν πραγματείαν, οὐ μὴν περὶ τῶν πραγμάτων;

'Α. Ὅτι περὶ τὴν φωνὴν οὐ ποιεῖ ὁμωνυμίαν ὁ χαρακτὴρ τῆς λέξεως, τὰ δὲ πράγματα διάφορα εὑρεθέντα καὶ κατὰ μηδὲν ἀλλήλοις κοινωνοῦντα κατὰ μιᾶς καὶ τῆς αὐτῆς τυγχάνει λέξεως. πρὶν δὲ γνωσθῆναι ὅτι κατὰ πλειόνων τέτακται τὰ πράγματα τοῦ αὐτοῦ λόγου μὴ κοινωνοῦντα, οὐδ' ἂν εἴη ὁμωνυμία.

'Ε. Τί οὖν τοῦτο ποιεῖ πρὸς τὸ μὴ ἀπὸ τῆς φωνῆς ἄρξασθαι, ἀλλ' 6r ἀπὸ τῶν πραγμάτων;

'Α. Ὅτι οὐκ ἂν γνωσθείη ὅτι ὁμωνυμία ἐστὶν πραγμάτων, πρὶν τὰ πράγματα γνωσθῆναι ὅτι ὁμώνυμά ἐστιν. ἀνάγκη τοίνυν πρότερον διδαχθῆναι, τίνα ὁμώνυμά ἐστιν πράγματα, ἵνα καὶ ἡ ὁμωνυμία καὶ ἡ τοιαύτη λέξις γνωσθῇ.

'Ε. Πῶς οὖν ὁ Ἀριστοτέλης ὁρίζεται τὰ ὁμώνυμα;

'Α. Ὁμώνυμα λέγεται, ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

'Ε. Ἀλλ' εἰ μὴ ἐν μόνοις τοῖς ὀνόμασίν ἐστιν ἡ ὁμωνυμία ἀλλὰ καὶ ἐν ῥήμασι καὶ ἐν συνδέσμοις, ὥσπερ ἐπὶ τοῦ ἠνδραπόδισται· καὶ γὰρ ὁ ἀνδραποδισάμενος ἄλλον ἠνδραπόδισται ἐκεῖνον καὶ ὁ ἀνδραποδισθεὶς ὑπὸ ἄλλου ἠνδραπόδισται· διὰ τί ὡς ἐν μόνοις τοῖς ὀνόμασιν οὔσης τῆς ὁμωνυμίας ἔφη ὧν ὄνομα μόνον κοινόν;

4.5. Ἀπὸ τῶν ὁμωνύμων. Ἀπὸ τίνων οὖν ἤρξατο; colloc. M (corr. m² litteris superscr.) 8 μόνου (ut videtur) M: μόνον p corrigas καθ' ἓν μόνον cf. v. 18 et Simpl. fol. 6r5 περὶ τῶν ὁμωνύμων—καθ' ἓν κοινωνούντων τοῦ ὀνόματος 9 κοινωνοῦντος p: κοινωνοῦντα M 10 τὸ M: om. p ὂν p: ὀνόμα M 18 post πράγματα desideratur ἃ 19 an κατὰ τοὔνομα μιᾶς? 28 οὖν Zp: oblitt. M ὁρίζεται Zp: om. M 29 κατὰ τοὔνομα M: κατοὔνομα p 31. 34 Ἀλλ' εἰ—ἠνδραπόδισται prioribus continuant M²p: magistro reddidit Felic. 32 γὰρ Zp: oblitt. M 33 ἐκεῖνον M¹: ἐκεῖνος M²p 35 ἔφη post ὄνομα transp. p

Ἀ. Ὅτι τὸ ὄνομα οὐ μόνον ἐπὶ τῶν ἰδίως ὀνομαστικὸν ἐχόντων χαρακτῆρα τάττεται, ὧν προτίθεται τὰ ἄρθρα, ἀλλὰ ἐπὶ παντὸς μέρους λόγου διὰ τὸ καὶ ταῦτα, ὅταν ἐξετάζωνται εἰ ἔστιν ὁμώνυμα, μετὰ ἄρθρου προτεθέντος αὐτῶν λέγεσθαι καὶ κλίνεσθαί γε ὡς τὰ μονόπτωτα· φαμὲν γὰρ ὅτι 'τῷ ἀνδραποδίζεσθαι ὁμωνύμῳ ὄντι' καὶ τὰ ἑξῆς. εἴληπται οὖν ὄνομα τὸ κοινῶς ἐπὶ παντὸς μέρους λόγου ταττόμενον.

Ἐ. Ἀλλὰ πῶς μὲν ἐλήφθη αὐτῷ τὸ ὄνομα, ἐξηγήσω· τὸ δὲ μόνον ποῖον ὑπακούειν δεῖ, ἆρα τὸ δηλοῦν τὸ ἕν, ὥσπερ φαμὲν ὅτι 'μόνος ἐστὶν ὁ κόσμος' ἀντὶ τοῦ 'εἷς ἐστιν', ἢ τὸ δηλοῦν τὴν πρὸς ἕτερον ἀντιδιαστολήν, ὡς ὅταν λέγωμεν 'οὗτος χιτῶνα μόνον ἔχει', ἔνθα προσυπακούομεν 'ὅτι ἱμάτιον δὲ οὐκ ἔχει' ἤ τι τοιοῦτον;

Ἀ. Λέγω ὅτι τὸ κατὰ ἀντιδιαστολὴν τιθέμενον μόνον εἴληπται.

Ἐ. Πρὸς οὖν τίνος ἀντιδιαστολὴν εἴρηται;

Ἀ. Πρὸς ὅρον φημί· ἐπεὶ γὰρ πᾶν πρᾶγμα καὶ ὄνομα ἔφαμεν ἔχειν καὶ ὁρισμόν, πρὸς ἀντιδιαστολὴν οὖν τοῦ ὁρισμοῦ τὸ μόνον εἴληπται· τὰ γὰρ ὁμώνυμα τὸ ὄνομα μὲν ἔχει κοινόν, οὐκ ἔτι δὲ τὸν λόγον τὸν ὁριστικόν.

Ἐ. Τὸ κοινὸν πῶς εἴληπται; πρῶτον δὲ εἰπέ, ποσαχῶς λέγεται τὸ κοινόν;

Ἀ. Λέγω ὅτι πολλαχῶς· κοινὸν γὰρ λέγεται καὶ τὸ εἰς μέρη διαιρετὸν 6v ὡς ἄρτος καὶ οἶνος, εἰ εἷς εἴη τῶν διαιρούντων, καὶ τὰ χρήματα κοινὰ τῷ εἰς μέρη εἶναι διαιρετὰ τῶν ὄντων. λέγεται δὲ κοινὸν καὶ τὸ εἰς μέρη μὲν οὐ διαιρετόν, εἰς δὲ τὴν χρῆσιν ὑπὸ πολλῶν παραλαμβανόμενον ὡς ἵππος καὶ οἰκέτης κοινὸς πλείοσιν ἀδελφοῖς. λέγεται κοινὸν καὶ τὸ ἐν προκαταλήψει τινὸς γινόμενον καὶ μετὰ τὴν χρῆσιν ἀναπεμπόμενον εἰς τὸ κοινόν, οἷον δή τί ἐστι τὸ βαλανεῖον καὶ τὸ θέατρον. λέγεται δὲ πάλιν ἄλλως κοινὸν τὸ ὅλον ἅμα εἰς χρῆσιν ἐρχόμενον πολλῶν ἀδιαιρέτως· οὕτως γὰρ διὰ τῆς τοῦ κήρυκος φωνῆς κοινὴ ἡ χρῆσις τοῖς ἐν τῷ θεάτρῳ μὴ διαιρουμένης τῆς εἰς ἐλάχιστα φωνῆς καθ' ἕκαστον τῶν παρόντων.

Ἐ. Κατὰ ποῖον οὖν σημαινόμενον τὸ κοινὸν εἴληπται;

Ἀ. Κατὰ τὸ τελευταῖον λέγω, καθ' ὃ κοινὴ χρῆσις γίνεται ἅμα πολλοῖς ταὐτοῦ ὅλου ἀδιαιρέτου μένοντος· ἡ γὰρ Αἴας φωνὴ κοινὴν ἔχει χρῆσιν καὶ ἐπὶ τοῦ Ὀϊλέως παιδὸς καὶ ἐπὶ τοῦ Τελαμῶνος ὅλη λαμβανομένη καὶ ἀδιαίρετος μένουσα ἐπ' ἀμφοτέρων.

Ἐ. Ἀλλὰ πῶς μὲν εἴρηται ὁμώνυμα ὅτι ὧν ὄνομα μόνον κοινόν, ἐξηγήσω· ἃ δὲ ἑξῆς ἐπήγαγεν ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος,

1 ὀνοματικὸν M 2. 6 μέρους Dp: μέρος M 3 ὁμώνυμα scripsi: ὁμωνυ M (superscr. μ'): ὁμωνυμία p 5 τῷ] τὸ Mp ὄνομα M: om. p 7 αὐτῷ vel αὐτοῦ compend. M: αὐτὸ p 9 τὴν Zp: oblitter. M 10 ἔχει Zp: ἔχειν M 14 ὅρον] legendum ὅρου cf. v. 13 17 ante Τὸ κοινὸν add. μ/''': (num. β') M 21 τῶν ὄντων] an καθ' ἕκαστον τῶν μετεχόντων? 23 καὶ (post ἵππος) Zp: oblitter. M 27 διὰ] corrigas καὶ vel ἅμα aut eicias 28 τῆς εἰς ἐλάχιστα φωνῆς si eicere nolis, corrigas εἰς ἐλ. τῆς φωνῆς 29 σημαινόμενον Zp: σημαίνει M 30 κατὰ τὸ τελευταῖον ut interrogationem prioribus adnectunt M²p: corr. Felic. καθ' ὃ correxit Diels: καθὸ Mp 31 ἀδιαιρέτου M: ἀδιαιρέτως p 32 ἰλέως M 35 κατοὔνομα p

ἐξήγησαι ἡμῖν. καὶ πρῶτον διὰ τί προσέθηκεν, ὁ δὲ κατὰ τοὔνομα λόγος, ἀλλ' οὐκ ἠρκέσθη εἰπὼν ὁ δὲ λόγος ἕτερος;

'Α. Φημὶ ὅτι οὐδὲ ἄλλως γένοιτο ἂν ὁ ὅρος ὑγιής, εἰ μὴ κατὰ τοὔνομα ἀποδίδοιτο καὶ συζύγως ἔχων πρὸς τοὔνομα.

'Ε. Εἰπὲ ἔτι ὃ λέγεις σαφέστερον.

'Α. Προφθάσαντες εἰρήκαμεν ὅτι πᾶν πρᾶγμα ἢ διὰ ὀνομάτων σημαίνεται ἢ διὰ λόγου ὁριστικοῦ. δεῖ δὲ τὸν ὁριστικὸν λόγον σύζυγον εἶναι τῷ ὀνόματι καὶ ἐξηγητικὸν τοῦ πράγματος, καθὸ τῷδε κέχρηται τῷ ὀνόματι. οἷον ἥδε ἡ οὐσία, ἔστω δὲ ἄνθρωπος ὑποκείμενος, καλεῖται ἄνθρωπος, καὶ ἀθρόως μὲν οὕτως, καὶ ζῷον ἐπὶ κεφαλαίου ἔχει τοὔνομα τούτου· διὰ δὲ λόγου ἰσοδυναμοῦντος εἰς δήλωσιν τῷ ὀνόματι ἀποδοθείη ἂν τῷ ζῷον λογικὸν 7r θνητόν. ἔστι δὲ ὁ ἄνθρωπος καὶ οὐσία ἔμψυχος αἰσθητική· ἀλλὰ καθὸ μὲν ἄνθρωπος καλεῖται σύζυγον ἔχων κατὰ τοὔνομα τὸ τοῦ ἀνθρώπου λόγον, ζῷον λογικὸν θνητόν, καθὸ δὲ ζῷον, οὐσία ἔμψυχος αἰσθητική. ἂν τοίνυν ἄνθρωπον εἰπὼν τὴν ὑποκειμένην οὐσίαν καὶ δι' ὀνόματος οὕτως αὐτὴν δηλώσας διὰ λόγου μηνῦσαι αὐτὴν θέλων εἴπῃς οὐσία ἔμψυχος αἰσθητική, εἴρηκας μέν τι ἀληθές, οὐκέτι δὲ συζύγως τῷ ἄνθρωπος ὀνόματι ἀποδέδωκας τὸν λόγον, ἀλλὰ περιττῶς καὶ πεπλασμένως.

'Ε. Τί οὖν ἐστιν ὃ φῂς περιττῶς καὶ πεπλασμένως;

'Α. Ὅτι οἱ ὅροι ἀντιστρέφειν ὀφείλουσι τοῖς ὀνόμασιν· ἔστι δὲ ἀντιστρέφειν τὸ ἐξισάζειν καὶ μὴ πλεονάζειν μήτε ἐλλείπειν. οἷον εἴ τίς ἐστιν ἄνθρωπος, ἐκεῖνος ζῷόν ἐστι λογικὸν θνητόν.

'Ε. Ἀληθές, ἀλλὰ καὶ ἀντίστρεψον. καὶ ὅρα, εἰ ὁμοίως ἀληθὲς τὸ λεγόμενον.

'Α. Καὶ εἴ τί ἐστιν ζῷον λογικὸν θνητόν, τοῦτ' ἔστιν ἄνθρωπος.

'Ε. Ἀληθὲς καὶ τοῦτο.

'Α. Πάλιν εἴ τίς ἐστιν ἄνθρωπος, οὐσία ἐστὶν ἔμψυχος αἰσθητική.

'Ε. Ἀληθὲς τοῦτο, ἀντίστρεψον.

'Α. Εἴ τί ἐστιν οὐσία ἔμψυχος αἰσθητική, ἄνθρωπός ἐστιν.

'Ε. Τοῦτο ψεῦδος· ἰδοὺ γὰρ ὁ βοῦς οὐσία ἐστὶν ἔμψυχος αἰσθητική, καὶ οὐκ ἔστιν ἄνθρωπος. τί οὖν τὸ αἴτιον;

'Α. Ὅτι τὸ μὲν ζῷον θνητὸν κατὰ τοὔνομα ἀπεδόθη τὸ τοῦ ἀνθρώπου.

1 ante πρῶτον add. πάλιν Cp: om. AD: omissum an oblitteratum sit in exitu versus dispici iam non potest M 3 ἄλλως scripsi: ἄλλος Mp ὁ ὅρος Zp: τὸ ὅρος M[1]: τὸ ὅρος M[2] 4 ἀποδίδοιτο scripsi: ἀποδιδότω M: ἀπεδίδοτο Zp ἔχων Zp: ἔχον M 7 ὁριστικοῦ Dp et ὁριστικὸν p: ὁρικοῦ et ὁρικὸν M (cf. Simpl. f. 7v12) 7.8 ante τῷ ὀνόματι add. πρὸς p: om. M 8 ὀνόματι Zp: oblitter. M 10 post ζῷον forsitan inseras δέ· ὁ ἄνθρωπος γὰρ 11 τῷ (ante ζῷον) Zp: oblitt. M 12 ἐσθητική M 13 ἔχων scripsi: ἔχειν M: ἔχει p τὸ scripsi: τὸν Mp 15 ἂν M: εἰ p 16 εἴπῃς M: εἴποις p 17 μέν τι M: μέντοι p συζύγως M: συζύγῳ p 21.22 τις et ἐκεῖνος M: τι et ἐκεῖνο p 27 τις M: τι p ἐστὶν (alterum) M: om. p 28 ἀντίστρεψον prioribus continuavi: vicem post τοῦτο signif. M[2]p 29 ἐστιν (alterum) M: om. p 31 τί οὖν τὸ αἴτιον prioribus continuavi: vicem ante τί signif. M[2]p 32 post ζῷον inseras λογικὸν

διὸ καὶ ἀδιάφορον εἰπεῖν τὴν οὐσίαν ταύτην, ἔστω δὲ ἄνθρωπος, τοῦτο ζῷον λογικὸν θνητόν ἐστιν, ἢ τοῦτο, ἄνθρωπός ἐστιν· ἰσοδυναμεῖ γὰρ τῷ ὀνόματι τῷ τοῦ ἀνθρώπου ὁ ὁριστικὸς λόγος τὸ ζῷον λογικὸν θνητόν. τὸ δὲ ἄνθρωπον εἰπόντα ὁριστικὸν αὐτοῦ λόγον ἐπάγειν οὐσία ἔμψυχος αἰσθητικὴ οὐ κατὰ τοὔνομα τὸ ῥηθὲν τοῦ ἀνθρώπου ἐστὶν ἀποδιδόντος τὸ ἄνθρωπος. πᾶς οὖν ὅρος εἰ μέλλοι ἀποδίδοσθαι ὑγιῶς, κατὰ τοὔνομα καὶ συζύγως τῷ ὀνόματι ἀποδίδοσθαι ὀφείλει. καὶ ὅτι τοῦτο ἐπὶ παντὸς ὅρου 7v δεῖ θεωρεῖσθαι, δηλοῖ καὶ ὁ τούτου συνώνυμος ὅρος καὶ αὐτὸς κατὰ τοὔνομα ἀποδίδοσθαι τὸν ὁριστικὸν λόγον ἀεὶ παραγγέλλων. ὅταν οὖν Αἴαντος καλουμένου τοῦ Τελαμῶνος παιδὸς καὶ τοῦ Ὀϊλέως θέλωμεν ἀποδοῦναι τὸν τοῦ Ὀϊλέως, ὅστις ἐστί, καὶ προσαγορεύσας αὐτὸν Αἴας λέγῃς ὅτι 'οὗτός ἐστιν Αἴας ὁ τοῦ Ὀϊλέως παῖς Λοκρὸς ὢν τῷ γένει', θέλων δὲ τὸν τοῦ Τελαμῶνος λέγῃς 'οὗτος δέ ἐστιν ὁ Αἴας τοῦ Τελαμῶνος παῖς Σαλαμίνιος τῷ γένει', δῆλον μὲν ὅτι τῷ Αἴας ὀνόματι κοινῶς ἐπ' αὐτῶν κέχρησαι (ἑκάτερος γὰρ Αἴας κέκληται), ἀποδιδοὺς δὲ ὑπογραφὴν τὴν παραπλησίαν ὅρῳ δῆλον ὡς ἄλλον μὲν ὁριστικὸν ἢ ὑπογραφικὸν ἀπέδωκας τοῦ Αἴαντος τοῦ Λοκροῦ, ἄλλον δὲ τοῦ Σαλαμινίου. καίτοι εἰ ἀνθρώπους ἀμφοτέρους ὠνόμασας, οὐκ ἂν καὶ ἄλλον αὐτοῖς ὅρον ἀπέδωκας κατὰ τοὔνομα τὸ τοῦ ἀνθρώπου, καθὸ ἀμφοτέρους ἀνθρώπους προσηγόρευσας, ἀποδιδοὺς τὸν ὅρον· ἀμφοτέρους γάρ, καθὸ ἄνθρωποί εἰσιν καὶ καλοῦνται κοινῷ ὀνόματι τῷ ἄνθρωπος, ἀποδιδοίης ἂν εἶναι ζῷα λογικὰ θνητά.

Ἐ. Ἀλλ' ὅτι μὲν ἀναγκαίως πρόσκειται ὁ δὲ κατὰ τοὔνομα λόγος οὐκ ἐπὶ μόνου τοῦ τῶν ὁμωνύμων ὅρου, ἀλλ' ὅτι οὐδὲ οἷόν τε ἄλλως ὅρον τινὸς ἀποδιδόναι ὑγιῶς μὴ κατὰ τοὔνομα τὴν ἀπόδοσιν ποιούμενον τοῦ ὁριστικοῦ λόγου, ὀρθῶς τοῦτο ἀπέδειξας· διὰ τί δὲ πρόσκειται τῷ λόγῳ ὁ λόγος τῆς οὐσίας, καὶ οὐκ ἠρκέσθη εἰπὼν ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος, δεῖξαι ὀφείλεις.

Ἀ. Ὅτι τοῦ λόγου πλεοναχῶς λεγομένου· ἔστιν γὰρ λόγος καὶ ψηφιστικός, ἔστι λόγος καὶ προφορικός, ἔστι λόγος καὶ ἐνδιάθετος, ἔστιν λόγος καὶ σπερματικός· καὶ πλειόνων ὄντων τῶν σημαινομένων ἐκ τοῦ λόγου διὰ τὸ

---

1 ante διὸ vicem signif. M²p post ταύτην requiritur velut εἴτε ἄνθρωπον εἴτε ζῷον λογικὸν θνητόν: *unde nulla differentia est, sive substantiam hanc, quae est homo, animal rationale mortale esse, sive animal rationale mortale esse hominem dixerimus* Felic. 3 ὁριστικὸς Cp: ὁρικὸς M (sed v. 9 ὁριστικὸν) 4 ὁριστικὸν p: ὁρικὸν M 6 μέλλοι M: μέλλει p ὑγιῶς Cp: ὑγειῶς M 7 συζύγως scripsi: σύζυγος Mp 9 παραγγέλων M ante ὅταν vicem signif. M²p ὅτἂν M: ὅτι p 10. 11 ἰλέως utrobique M¹ (corr. m²) 10 θέλωμεν scripsi: θέλομεν Mp 11 αἴας M: αἴαντα p 11. 13 λέγῃς utrobique scripsi: λέγεις Mp 12 ἰλέως M θέλων p: θέλω M 13 οὗτος M: om. p 14 τῷ (ante Αἴας) Zp: τὸ M αὐτῶν scripsi: αὐτω (sic) M: αὐτῷ p 16 ὁριστικὸν p: ὁρικὸν M 17 τοῦ (post δὲ) M: οὔτε p 18 ὀνόμασας M αὐτοῖς Zp: —τοῖς oblitter. M 19 προσηγόρευσας M: προηγόρευσας p 19. 20 ἀποδιδοὺς M: ἀποδοὺς p 20 ἀμφοτέρους M: ἀμφότεροι p καὶ M: om. p 21 ὀνόματι Zp: oblitter. M ἀπιδιδοίης ἂν p: ἀποδιδοίησαν M 22 Ἀλλ' ὅτι sq. prioribus contin. M²p 23 τοῦ M: om. p 24 ὑγιῶς Cp: ὑγειῶς M 25 ἀπέδειξας M: ἀπέδωκας p

ὁμοίως πολλὰ καὶ διάφορα πράγματα χρῆσθαι τῷ τοῦ λόγου ὀνόματι· λόγος δέ ἐστι καὶ κατ' ἄλλο σημαινόμενον ὁ ὅρος, οὗτος δὲ ὁ λόγος ὁ ὁριστικός· τὸ ὅλον τοῦτο λέγεται λόγος τῆς οὐσίας, ἡ γὰρ προσθήκη τῆς οὐσίας διαστέλλει αὐτὸν ἀπὸ τῶν ἄλλων σημαινομένων τοῦ λόγου. ὥσπερ οὖν δραχμῆς οὔσης ἀργυρᾶς, οὔσης δὲ καὶ χρυσῆς καὶ ἄλλης χαλκῆς ὁ [8r] ἁπλῶς εἰπὼν 'δραχμὴν δός μοι' ἄδηλόν τινα λέγει, ὁ δὲ προσθεὶς 'δός μοι χρυσῆν δραχμήν' διέστειλεν ἣν θέλει λαβεῖν ἀπὸ τῶν ἄλλων· οὕτως πλεοναχῶς λεγομένου τοῦ λόγου ὁ εἰπὼν λόγος ὁ τῆς οὐσίας τῇ προσθήκῃ τῆς οὐσίας ἐδήλωσεν τὸν ὁριστικὸν λόγον. ὁ οὖν κατὰ τοὔνομα ὁριστικὸς λόγος καὶ ὁ τῆς οὐσίας δηλωτικὸς λόγος, ὅστις ἐστὶν ὁρισμός, ἕτερος εἶναι ὀφείλει καθ' ἕκαστον τῶν ὁμωνύμων πραγμάτων.

'Ε. Ἀλλ' ἐπεὶ τὸν ὅρον ἀποδέδωκας τῶν ὁμωνύμων, δεῖ δὲ καὶ παράδειγμα τούτων κομίσαι, ἆρά γε εἷς τρόπος ἐστὶ τῶν ὁμωνύμων, ἵνα καθ' ἕνα τρόπον τοῦτον λαβόντες τὸ παράδειγμα αὐτάρκως αὐτῶν ἔχωμεν τὴν διδασκαλίαν, ἢ πλείους εἰσὶν ὁμωνύμων τρόποι;

'Α. Πλείους.

'Ε. Τίνες οὗτοι;

'Α. Ὡς μὲν ἀνωτάτω εἰπεῖν δύο, ὧν ὁ μέν ἐστιν ἀπὸ τύχης, ὁ δὲ ἀπὸ διανοίας. διελόντι δὲ καὶ ἀπὸ διανοίας εἴς τε τὸν καθ' ὁμοιότητα καὶ τὸν ἐκ τῆς ἀναλογίας καὶ τὸν ἀφ' ἑνὸς καὶ πρὸς ἓν οἱ πάντες ἔσονται τρόποι.

'Ε. Τίς οὖν ἐστιν ὁ ἀπὸ τύχης τρόπος;

'Ε. Ἃ ὡς ἔτυχεν καὶ ἀνεπιστάτως διάφορα πράγματα τῆς αὐτῆς ἔτυχε προσηγορίας, ὥσπερ Ἀλέξανδρός τε ὁ Πριάμου καὶ Ἀλέξανδρος ὁ Φιλίππου ὁ Μακεδόνων βασιλεύσας. ταῦτα γὰρ κατὰ τύχην ὁμώνυμα εἶναι λέγεται, οἱ δὲ ἄλλοι ἀπὸ διανοίας εἶεν ἂν ἠρτημένοι, ὅτι ὅ τε καθ' ὁμοίωσιν συνιστάμενος τρόπος τῆς ὁμωνυμίας, ὅταν φέρε ἄνθρωπόν τε προσαγορεύσω τὸ ζῷον λογικὸν θνητὸν καὶ εἰκόνα ἀνθρώπου, ὅταν ἰδὼν λέγω ὅτι 'ἄνθρωπος τοῦτο', δηλονότι οὐχ ὡς ἔτυχεν καὶ τὸ ἐν τῇ εἰκόνι γράμμα καλῶ ἄνθρωπον, ἀλλ' ὅτι ὁμοίωμά ἐστι τοῦ ζῶντος ἀνθρώπου· ἀπὸ διανοίας οὖν ἄνθρωπόν τε τὸν ζῶντα καὶ τὸν ἀνδριάντα ἢ τὴν εἰκόνα καλῶ ἄνθρωπον. πάλιν ὅταν ἀρχὴν ἀριθμῶν καλέσω τὴν μονάδα, ἀρχὴν δὲ γραμμῆς τὴν στιγμήν, ἀρχὴν δὲ ποταμῶν τὴν πηγήν, ἀρχὴν δὲ τοῦ ζῴου τὴν καρδίαν, τὸ τῆς ἀρχῆς ὄνομα ἐπὶ ὁμωνύμων ταττόμενον ἐκ διανοίας ἂν εἴην κατὰ [8v] ἀναλογίαν πᾶσι τούτοις κοινὸν τοῦτο θέμενος ὄνομα· ὡς γὰρ ἔχει ἐν ἀριθμοῖς ἡ μονάς, οὕτως ἔχει ἐν γραμμαῖς μὲν ἡ στιγμή, ἐν ποταμοῖς δὲ ἡ πηγή, ἐν ζῴοις δὲ ἡ καρδία. ὁ δὲ τοιοῦτος λόγος τῆς δείξεως κατὰ ἀνα-

1 πράγματα M: om. p 5 οὖν M: om. p δραχμῆς p: δραγμῆς M (ubique) 7 διέστειλεν M: διέστηλεν p 10 ὅστις Zp: ὅσ— oblitter. M 14 ἔχωμεν p: ἔχομεν M 19 διελόντι—ἀπὸ διανοίας M: om. p 20 ἓν M: ὂν p 22 αὐτῆς Zp: oblitter. M 25 ὅ τε M: ὅ γε p 26 προσαγορεύσω M: προσαγορεύω p 27 ἰδὼν Zp: εἰδὼν M 28 δηλονότι M: δῆλον τὸ p 31 ἀρχὴν (prius) om. M[1] (suppl. m[2]) 33 τῆς Zp: oblitter. M ἂν εἴην scripsi: ἂν εἴης Zp: oblitter. M 36 δείξεως M: ἀποδείξεως p

λογίαν λέγεται παρὰ τοῖς γεωμέτραις, καὶ διὰ τοῦτο τὸ τῆς ἀρχῆς ὄνομα εἴληπται ἐν τοῖς κατὰ ἀναλογίαν ὁμωνύμοις. τρίτος δέ ἐστι τρόπος τῶν ἀπὸ διανοίας τὸ ἀπό τινος ἑνὸς κοινὴν διαφόροις πράγμασι προσηγορίαν γενέσθαι· οἷον μιᾶς οὔσης τῆς ἰατρικῆς ἀπὸ ταύτης κεκλήκαμεν τό τε βιβλίον ἰατρικὸν τό τε φάρμακον καὶ τὸ σμιλίον, ἀλλ' ἰατρικὸν μὲν τὸ βιβλίον, ὅτι ἰατρικῶν μαθημάτων ἀναγραφὴν ἔχει, τὸ δὲ σμιλίον ἰατρικόν, ὅτι πρὸς τομὰς τὰς κατὰ ἰατρικήν ἐστιν ὄργανον. ἰατρικὸν δὲ τὸ φάρμακον, ὅτι πρὸς τὰς ἰάσεις ἐστὶν χρήσιμον τῷ ἰατρῷ. ὥστε κοινὸν μὲν τοὔνομα, ὁ δὲ κατὰ τοὔνομα λόγος καθ' ἕκαστον ⟨τῶν⟩ κοινῶς προσαγορευομένων ἕτερος. ἀπὸ μιᾶς δὲ τῆς ἰατρικῆς ἐκλήθη ταῦτα ἰατρικὰ θέντων οὐκ ἀπὸ τύχης ἀλλὰ ἀπὸ διανοίας πᾶσι τούτοις ὀνόματα τῶν οὕτως ὀνομασάντων ταῦτα. τέταρτος δὲ ἀπὸ διανοίας, ὅταν διάφορά τινα πρὸς ἓν σπεύδοντα τέλος ἀπ' ἐκείνου τῆς κοινῆς προσηγορίας τύχῃ, ὥσπερ ὑγείας οὔσης ἣν τέλος ποιεῖται ὁ ὑγιαζόμενος, ἀπὸ ταύτης τό τε σιτίον λέγεται ὑγιεινὸν καὶ ὁ περίπατος ὑγιεινὸς καὶ τὸ ἀνάγνωσμα ὑγιεινόν. τοῦτον δὲ τὸν τρόπον οἱ μὲν συνῆψαν τῷ ἀφ' ἑνὸς τὸ ὅλον τοῦτο καλέσαντες ἀφ' ἑνὸς καὶ πρὸς ἕν, οἱ δὲ οὐδὲ ἐν τοῖς ὁμωνύμοις κατηρίθμουν, ἀλλ' οὐδὲ ἐν τοῖς συνωνύμοις, ἀλλ' ἐν μέσῳ ἐτίθεσαν τῶν ὁμωνύμων τε καὶ συνωνύμων διὰ τὸ λόγου μετοχῇ τοῦ αὐτοῦ ἰατρικὰ καλεῖσθαι κοινῶς τὰ διάφορα πράγματα ὑγείας τε περιποιήσει τῆς αὐτῆς ὑγιεινὰ καλεῖσθαι τὰ οὕτω προσαγορευθέντα κοινῶς πράγματα.

'Ε. Ὁ δὲ Ἀριστοτέλης ποίῳ κέχρηται τρόπῳ τῶν ὁμωνύμων;

'Α. Τῷ ἀπὸ τῆς ὁμοιότητος εἰπὼν ζῷον τόν τε ἄνθρωπον καὶ τὸ γεγραμμένον, ἐὰν γὰρ ἀποδιδῷ τις τί ἐστιν ἑκατέρῳ τὸ ζῴῳ εἶναι, 9r ⟨ἴδιον ἑκατέρου λόγον⟩ ἀποδώσει· τὸν δὲ κατὰ τοὔνομα λόγον ἀποδιδοὺς ἄλλον ἄλλῳ ἀποδώσει, τὸν μὲν ἄνθρωπον ζῷον εἶναι, ὅτι οὐσία ἐστὶν ἔμψυχος αἰσθητική, τὸ δὲ γεγραμμένον ζῷον εἶναι, ὅτι ὁμοίωμά ἐστιν οὐσίας ἐμψύχου αἰσθητικῆς.

'Ε. Ἐπειδὴ ἕνα τρόπον ὁμωνύμων εἴρηκας τὸν κατὰ ἀναλογίαν, ἆρά γε καὶ κατὰ μεταφορὰν ὁμώνυμά τε ἂν εἴη καὶ ὑπαχθείη τῷ κατὰ ἀναλογίαν τρόπῳ, ἢ ἕτερός ἐστί τις τρόπος ὁ κατὰ μεταφορὰν καὶ ἕτερος ὁ κατὰ ἀναλογίαν; καὶ εἰ δεῖ ἐν τῷ κατὰ ἀναλογίαν τάττειν τὸν κατὰ μεταφορὰν ἢ καθ' αὑτὸν ἄλλον τρόπον ἡγεῖσθαι ὁμωνύμων κατὰ ἀναλογίαν;

'Α. Ἐσφάλησαν μὲν πολλοί, ὧν καὶ ὁ Ἀττικός, ἕνα τρόπον καταλέξας

6 ἀναγραφὴν Zp: ἀνα— oblitter. M 7 τὰς M: om. p 9 τῶν addidi 10 θέντων scripsi: τεθέντων Mp 11 ὀνόμα (τ superscr.) M: ὀνομάτων p 13 ὑγείας Zp: ὑγ— oblitter. M 14 ὑγειαζόμενος M τό τε Zp: oblitter. M 15 ἀνάγνωσμα AD: ἀνάγνωμα Cp: —γνωσ— oblitter. M 17 οὐδὲ ἐν τοῖς Simpl.: οὐδὲ (ἐν τοῖς oblitter.) M: οὐδὲν τοῖς AD: οὐδὲ τοῖς Cp 23 τῷ Zp: τὸ M εἰπὼν scripsi: εἰπεῖν Mp 24 γάρ τις ἀποδιδῷ colloc. Aristot. ante ἑκατέρῳ add. αὐτῶν Aristot. τὸ Aristot.: τῷ Mp 25 ἴδιον ἑκατέρου λόγον ex Aristotele inserui τὸν Zp: oblitter. M δὲ] an δὴ? κατὰ τοὔνομα Zp: κατοὔνομα M 26 τὸν M: τὸ p ἐστὶν M: om. p 28 ἐμψύχου οὐσίας colloc. p 29 ἐπειδὴ M: ἐπεὶ δὲ p ὁμωνύμων M: ὁμώνυμον p 31 τις M: om. p 32. 33 καὶ—ἀναλογίαν om. Felic., nescio an recte

ὁμωνύμων τὸν κατὰ μεταφορὰν καὶ κατὰ ἀναλογίαν καὶ συγχέας τὸν κατὰ μεταφορὰν τῷ κατὰ ἀναλογίαν.

'Ε. Σαφῶς οὖν ἡμῖν εἰπέ, τί βούλει λέγειν.

'Α. Φημὶ τοίνυν κατὰ μεταφοράν ἐστιν, ὅταν μέν τι πρᾶγμα ἔχῃ ἴδιον ὄνομα, ἄλλως δὲ καταχρήσηταί τις ἐπ' αὐτοῦ ἄλλῳ ὀνόματι μεταφέρων καὶ τούτῳ χρώμενος ὡς κειμένῳ ἐπ' αὐτοῦ· ἐνταῦθα οὐκ ἂν εἴη ὁμωνυμία τις· ὅταν δὲ μὴ ἔχῃ ἄλλο ἀλλὰ τοῦτρ, τότε γίνεται ὁμωνυμία. οἷον ὀρῶν τὰ κάτω μέρη καλεῖται ὑπώρεια·

ἀλλ' ἔθ' ὑπωρείας ἔναιον πολυπιδάκου Ἴδης.

ταύτας τὰς ὑπωρείας ὄνομα οὔσας τῶν κάτω μερῶν τοῦ ὄρους οἱ ποιηταὶ πολλάκις προσεῖπον πόδας·

πάντες δ' ἐσείοντο πόδες πολυπιδάκου Ἴδης.

ἔστι δὲ καὶ κλίνης τὰ βαστάζοντα τὸ ὅλον κοῖτος πόδες καλούμενα, ἀλλὰ καὶ τραπέζης πόδες καὶ νηός·

αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων.

ἐπὶ τούτων πόδα μὲν νηὸς καὶ πόδας Ἴδης οὐκ ἂν εἴποι τις ὁμωνύμως εἰρῆσθαι· ἔχει γὰρ ἡ μὲν ναῦς προσαγορευόμενον τὸ ⟨εὐθῦν⟩ον τὴν ναῦν ἰδίως πηδάλιον. ἀλλ' οὐδὲ τοῦ ὄρους τὰ κάτω πόδας ἂν εἴποιμι ὁμωνύμως λέγεσθαι· ἔχει γὰρ ὄνομα ὑπωρείας. ἐπὶ δὲ τῆς τραπέζης καὶ τῆς κλίνης οὐκ ἔτι ἂν εἴποιμι μεταφορὰν ἀλλ' ὁμωνυμίαν· τοῦτο γὰρ ὄνομα ἔχει τῆς κλίνης τὸ βαστάζον τὸ ὅλον κοῖτος καὶ τῆς τραπέζης κατὰ ἀναλογίαν τῶν 9v τοῦ ζῴου ποδῶν. οὗ χάριν ὧν ὄνομα μόνον κοινὸν δεῖν εἴρηται εἶναι ἐπὶ τῶν ὁμωνύμων, ὄνομα δὲ ἐπὶ κλίνης καὶ τραπέζης οἱ πόδες τὰ τοιάδε μέρη, ἐπὶ δὲ ὄρους καὶ νηὸς ὀνόματα μὲν ὑπώρεια καὶ πηδάλιον, ἄλλως δὲ μετενήνεκται ἡ τῶν ποδῶν προσηγορία ἐπ' αὐτῶν· κατὰ μεταφορὰν ἂν εἴη ταῦτα λεγόμενα, ὁμωνύμως δὲ οὔ. οὐδὲ γὰρ καθ' ὁμοίωσιν εἴποις ἂν εἶναι ὁμώνυμα· ποίαν γὰρ ἔχειν ὁμοιότητα πρὸς ζῴου πόδας ὑπώρειαν; ἀλλὰ μετενηνεγμένως λέγεται ἡ ὑπώρεια πούς, ὁμωνύμως δὲ οὐ λέγεται, εἰ μή τι τῷ ὅρῳ προσέχοι τῶν ὁμωνύμων. ὅτι ἥ τε ὑπώρεια λέγεται ποὺς καὶ ἀνθρώπου πούς, καὶ τὸ μὲν ὄνομα κοινὸν τὸ τοῦ ποδός, ὁ δὲ λόγος ἕτερος, κοινῶς τοῦ ὀνόματος καὶ ἐπὶ τῆς μεταφορᾶς ταττομένου. διὸ ἐπὶ τούτου ζητῆσαι ἄξιον.

2 κατὰ Zp: absciss. M 4 τοίνυν Zp: absciss. M μὲν τὸ πρᾶγμα Simpl.c (f. 8r16) 5 ἄλλως δὲ Zp: absciss. et oblitt. M 6 τούτῳ Simpl.c: οὕτως Mp αὐτοῦ Simpl.c: αὐτῷ Mp 6. 7 ἐνταῦθα post τις transp. Simpl.c, tum idem add. οὐ γὰρ τὰ τροπικῶς ῥηθέντα ὁμώνυμα ἂν εἴη τοῖς κυρίως λεγομένοις 7 ἀλλὰ τοῦτο om. Simpl.c γίνεται Simpl.c: γὰρ Mp 8 ὀρῶν M: ὀρέων p: τῶν ὀρῶν Simpl.c τὸ κάτω μέρος Simpl.c ὑπώρια M 9 ἀλλ' ἔθ' ὑπωρείας... Hom. Υ 218 ἔτ' Mp: οἵ γ' Simpl.c ἔναιον Mp Simpl.c: ᾤκεον Hom. 9. 12 πολυπιδάκου Mp Simpl.c: πολυπίδακος Hom. 12 πάντες δ' ἐσσείοντο... Hom. Υ 59 — δ' ἐσείοντο M: δὲ σείοντο p: δὴ σείοντο Simpl.c 15 αἰεὶ γὰρ... Hom. κ 32 αἰεὶ Simpl.c: ἀεὶ Mp ἐνώμων Simpl.c: –μω— oblitt. M: ἐνώμουν Zp 16 πόδα M: πόδας p 17 εὐθῦνον scripsi: .....ον (ceteris oblitt.) M: om. Zp 22 ὧν] an ὡς? 23 μέρη Zp: oblitter. M 24 ὅρους M 26 γὰρ Zp: oblitter. M 27 ζώου M: ζῶον p 29 an προσέχοις? (cf. Plat. Alc. I, 122D) 31 τῆς scripsi: τὰς Mp

’Ε. ’Αλλὰ πῶς μὲν ὡρίσατο ὁ ’Αριστοτέλης καὶ τίνες οἱ τρόποι τῶν ὁμωνύμων, αὐτάρκως παρέστησας· μεταβατέον δέ σοι καὶ ἐπὶ τὰ συνώνυμα καὶ ἀποδότεον τὸν ’Αριστοτέλους ὅρον.

[Περὶ συνωνύμων]

’Α. Συνώνυμα λέγεται ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα τῆς οὐσίας λόγος ὁ αὐτός, οἷον ζῷον ⟨ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς⟩. ὁ γὰρ ἄνθρωπος καὶ ὁ βοῦς κοινῷ ὀνόματι προσαγορεύεται ζῷον, καὶ ὁ λόγος δὲ ὁ αὐτός· ἐὰν γὰρ ἀποδιδῷ τις τὸν ἑκάστου λόγον τί ἐστιν αὐτῶν τὸ ζῴῳ εἶναι, τὸν αὐτὸν ἀποδώσει λόγον.

’Ε. Ἐξήγησαι οὖν τὸν ὅρον.

’Α. Συνώνυμα δὲ, φησί, λέγεται τὰ πράγματα εἶναι, ὧν τό τε ὄνομα κοινόν, ἀλλ’ οὐ μόνον, ὡς ἐπὶ τῶν ὁμωνύμων. καὶ δηλονότι ὄνομα ληπτέον τὸ κοινῶς ἐπὶ παντὸς μέρους λόγου λεγόμενον καὶ τὸ κοινὸν ὡς εἴρηται πρότερον. ἄν τε δὲ προστεθῇ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ἄν τε μὴ προστεθῇ, ἀλλὰ μόνον λέγηται ὁ δὲ λόγος ὁ αὐτός, δῆλον ὅτι προσυπακουσόμεθα καὶ τὸ κατὰ τοὔνομα δεῖν ἀποδίδοσθαι τὸν λόγον καὶ ὅτι λόγον τὸν τῆς οὐσίας χρὴ ἐξακούειν· οὗτος γάρ ἐστιν ὁ ὁριστικός. ὅταν οὖν ὀνόματος ὄντος κοινοῦ ὁ κατὰ τοὔνομα ὁριστικὸς λόγος ὁ αὐτὸς 10r ᾖ, συνωνύμως ταῦτα καλεῖται τούτῳ τῷ ὀνόματι. δηλοῖ δὲ τὸ παράδειγμα τὸ εἰρημένον· ἄνθρωπος γὰρ ἔστω τὸ ὑποκείμενον καὶ βοῦς καὶ κύων, οὗτοι δὲ κοινῷ ὀνόματι καλείσθωσαν ζῷα· ἐπὶ ταύτης τῆς κοινότητος τοῦ ὀνόματος ἐὰν ἀποδῶμεν τὸν κατὰ τοὔνομα ὅρον (ἔστι δὲ ὁ σύζυγος τῇ τοῦ ζῴου προσηγορίᾳ ὅρος οὗτος τὸ οὐσία ἔμψυχος αἰσθητική· καὶ γὰρ ὁ ἄνθρωπος ζῷόν τε λέγεται καὶ ἔστιν οὐσία ἔμψυχος αἰσθητική), δῆλον ὅτι καὶ ὁ ὅρος κοινὸς ἔσται πάντων· ἕκαστον γὰρ τῶν εἰρημένων ἀληθῶς ἂν ῥηθείη οὐσία ἔμψυχος αἰσθητική.

’Ε. ’Αλλὰ ταῦτα μὲν κατὰ ’Αριστοτέλην ὡρίσω, ἐπειδὴ καὶ τούτων μνησθεὶς ὁ αὐτὸς τοὺς ὅρους αὐτῶν τοιούτους πεποίηται· ὅταν δὲ τοῦ μὲν λόγου κοινωνῇ τινα τοῦ αὐτοῦ, τοῦ δὲ ὀνόματος μή, ἃ δεῖ καλεῖσθαι πολυώνυμα, τίς ἂν γένοιτο ὅρος;

1 ante ’Αλλὰ vicem statuit Felic.: ante διὸ (p. 67,32) M²p   3 καὶ ἀποδοτέον τὸν ἀριστοτέλους ὅρον M: om. p   4 tit. inclusi   6 λόγος τῆς οὐσίας colloc. Aristot.   6. 7 ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς inserui: om. Mp   8 γὰρ Zp: oblitter. M   τις M: om. p   9 ἑκάστου M: ἕκαστον p   τὸ] τῷ Mp   9. 10 λόγον ἀποδώσει colloc. Aristot.   13 post ὁμωνύμων forsitan inseras ἀλλὰ καὶ ὁ κατὰ τοὔνομα τῆς οὐσίας λόγος ὁ αὐτός   δηλονότι M: δῆλον τὸ p   14 μέρους ADp: μέρος M   15. 16 μὴ ante alterum προστεθῇ transp. Brandis: ante prius προστεθῇ Mp   15 κατὰ τοὔνομα scripsi: κατοὔνομα M: κατ’ ὄνομα p ὁ et λόγος eicias   16 λέγηται Brandis: λέγεται Mp   ὁ δὲ] an ὅ τε?   17 τοὔνομα Zp: τοὔνο— oblitter. M   18 οὐσίας χὴ Zp: —ας χρὴ oblitter. M   19 κοινοῦ Zp: oblitter. an om. M dispici non potest   ὁριστικὸς M: om. p   26 κοινὸς Zp: κοινῶς M   28 ὡρίσω M: ὁρίσω p   ἐπειδὴ M: ἐπεὶ δὲ p   τούτων M: τοῦτο p   30 δεῖ p: δὴ M

'Α. Λέγω ὅτι πολυώνυμά ἐστιν ὧν διάφορα μὲν καὶ πλεῖστα ὀνόματα, ὁ δὲ λόγος εἷς καὶ ὁ αὐτός, ὡς ἄορ, ξίφος, φάσγανον, καὶ ἐπὶ τοῦ ἐνδύματος λωπίον καὶ ἱμάτιον· τὸ μὲν γὰρ πρᾶγμα ἓν τὸ τοῦ ξίφους καὶ ὁ ὅρος καὶ λόγος εἷς ὁ κατὰ τοὔνομα (ἔστι γὰρ σίδηρος ἀμφήκης εἰς ζῴων ἀναίρεσιν εἰργασμένος), ἄλλο δὲ ὄνομα καὶ διάφορον τὸ ξίφος καὶ τὸ ἄορ καὶ τὸ φάσγανον. καὶ ἔοικεν ταῦτα ἀντικεῖσθαι τοῖς ὁμωνύμοις, ὡς εἴ τις αὐτὰ ἐκάλει ὁμοιόλογα καὶ ὁμοιόριστα καὶ τὸν μὲν λόγον ἔχοντα κοινόν, τὰ δὲ ὀνόματα κατὰ λόγον ἕτερα. οὕτω δὲ καὶ οἱ Ῥωμαίων παῖδες εἰώθασιν πολλὰ ἔχειν ὀνόματα ἕκαστος.

'Ε. Ὅρισαι δὲ καὶ τὰ ἑτερώνυμα.

'Α. Ἔστι δὲ ἑτερώνυμα ἃ μήτε τοῦ ὀνόματος μήτε τοῦ λόγου κοινωνεῖ, ὡς πῦρ, χρυσὸς καὶ Σωκράτης καὶ ἀνδρεία. ἑτερώνυμα δέ ἐστιν ὧν τό τε ὄνομα καὶ ὁ λόγος ἕτερος.

'Ε. Ἐπεὶ τοίνυν λείπεται τὰ παρώνυμα, ὧν καὶ ὁ Ἀριστοτέλης ἐμνήσθη, λέγε δὴ καὶ περὶ τούτων.

'Α. Παρώνυμα δὲ λέγεται ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει, οἷον ἀπὸ τῆς γραμμα- 10v τικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος.

'Ε. Σαφήνισον οὖν ἡμῖν τὸν ὅρον.

'Α. Παρώνυμα, φησίν, λέγεται ὅσα ἀπό τινος ὀνόματος παρεσχηματίσθη καὶ ἔσχε τὴν προσηγορίαν, οἷον ἡ ἀνδρεία ἐστὶν ἐπ' ἀρετῆς κατηγορουμένη τινός, ἀπὸ δὲ τῆς προσηγορίας τῆς ἀνδρείας μετασχηματισθεὶς κατὰ τὸ τέλος τοῦ ὀνόματος ἐκλήθη τις ἀνδρεῖος τοῦ αὐτοῦ μὲν ὀνόματος ἔχων τὴν πτῶσιν, ἤγουν τὴν ἀνδρείαν, μετασχηματισμὸν δὲ κατὰ τὸ τέλος μόνον. τὸν δὲ μετασχηματισμὸν πτῶσιν ἐκάλεσεν, οὐ γὰρ ἃς καλοῦμεν ἡμεῖς πτώσεις ὀνόματος δεῖ νῦν λέγειν αὐτὸν νομίσαι· ὁ ἀνδρεῖος διαφέρων τῆς ἀνδρείας τῇ πτώσει, τοῦτ' ἔστι τῷ μετασχηματισμῷ κατὰ τὸ αὐτὸ ὄνομα τῆς ἀνδρείας, ἀνδρεῖος κέκληται μετεσχηματισμένως· τοῦτο γὰρ ὃ ἔφη τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει μετεσχηματισμένην κατὰ τὸ τέλος μόνον.

'Ε. Τίνων οὖν χρεία ἐστὶ πρὸς τὸ γενέσθαι παρώνυμα;

'Α. Τριῶν.

'Ε. Τίνων τούτων;

'Α. Πρῶτον μὲν εἶναι δεῖ πρᾶγμα οὗ δεῖ μετέχειν, δεύτερον τοῦ ὀνόματος οὗ δεῖ μετέχειν, καὶ τρίτον διαφέρειν τοῦ ὀνόματος μετασχηματισμῷ

1 Περὶ πολυωνύμων in mrg. add. M: om. p 3 supra λωπίον add. λωπίον τὸ ἱμάτιον M[2] 10 Περὶ ἑτερωνύμων in mrg. add. M: om. p 12 δὲ] an δὴ? 14 Περὶ παρωνύμων in mrg. add. M: om. p παπρώνυμα M[1] (π eras.) ὁ M: om. p

15 λέγε Zp: λέγει M τούτων Dp: τούτου AC: τού M 19 οὖν Zp: oblitt. vel. eras. M 21. 22 ἀνδρεία et ἀνδρείας M: ἀνδρία et ἀνδρίας p 24 τὴν πτῶσιν, ἤγουν τὴν ἀνδρείαν: *qui eiusdem quidem nominis, hoc est fortitudinis, appellationem habet* Felic., unde τὴν προσηγορίαν, ἤγουν τῆς ἀνδρείας corrigas 25 μετασχηματισμὸν] μετα supra scr. M 28 μετεσχηματισμένως Vitelli: μετασχηματισμένως Mp 29 μετεσχ.] μετασχ. Zp: α oblitt. M 30 ἐστὶ Zp: oblitt. M 34 διαφέρειν Zp: διαφέρει M

τινι. ἑνὸς δὲ τῶν τριῶν ἀφαιρεθέντος οὐκέτι ἂν εἴη παρώνυμα. ὁ γὰρ ἀνδρεῖος παρώνυμόν ἐστιν, ἔστιν γὰρ ἡ ἀνδρεία πρᾶγμα ἧς μετέχει· ἀλλὰ καὶ τοῦ ὀνόματος αὐτῆς μετέχει· ἀπὸ γὰρ τῆς ἀνδρείας ὁ ἀνδρεῖος. ἀλλὰ μετέχει καὶ μετασχηματισμοῦ τῆς πτώσεως γενομένης κατὰ τὸ τέλος τῆς ἀνδρείας ὀνόματος· ἡ μὲν γὰρ ἀνδρεία εἰς τὴν ᾱ λήγει συλλαβήν, ὁ δὲ ἀνδρεῖος εἰς τὴν ος̅.

'Ε. Δεῖξον οὖν πῶς ἑνὸς τούτων ἐκλελοιπότος οὐκέτι παρώνυμον γίνεται.

'Α. Αὐτίκα· ἔστι τις τῆς μουσικῆς μετέχουσα γυνή, ἣ καλεῖται μουσική, καὶ ἔστι μὲν τὸ πρᾶγμα οὗ μετέχει, ἔστι δὲ καὶ τοὔνομα ἀφ' ἧς κέκληται μουσική. ἀλλ' ἐπεὶ οὐ μετεσχηματίσθη, ἀλλ' ὁμοίως καὶ ἡ ἕξις καὶ ἡ γυνὴ κέκληται μουσική, οὐκ ἔστιν παρωνύμως λεγομένη ἡ γυνὴ μουσικὴ ἀλλ' ὁμωνύμως. ὁ δὲ μουσικὸς παρωνύμως τῆς μουσικῆς κέκληται, ἐπειδὴ 11r πρόσεστιν αὐτῷ τὰ τρία, μετοχὴ πράγματος, μετοχὴ ὀνόματος, μετασχηματισμὸς τοῦ ὀνόματος. πάλιν ἀρετῆς οὔσης ὁ μετέχων ταύτης σπουδαῖος κέκληται· ἐνταῦθα τὸ μὲν πρᾶγμά ἐστιν ἡ ἀρετὴ οὗ μετέχει ὁ ἄνθρωπος, ἀλλ' ἐπειδὴ τοῦ ὀνόματος οὐ μετέχει (ὁ γὰρ σπουδαῖος καὶ ἡ ἀρετὴ ἕτερά εἰσιν ὀνόματα), οὐκ ἂν εἴη παρώνυμα, ὥστε μετέχων ἀρετῆς ὁ σπουδαῖος οὐκ ἂν εἴη παρωνύμως κεκλημένος σπουδαῖος.

'Ε. Διά τί οὖν οὐκ ἀπὸ τοῦ τὴν σπουδὴν ἔχειν σπουδαῖος καλεῖται ὁ σπουδαῖος ἀλλὰ τοῦ ἔχειν ἀρετήν;

'Α. Ὅτι εἰ διὰ τὸ σπουδὴν ἔχειν σπουδαῖος ἐκαλεῖτο, πάντας ἐνῆν τοὺς περί τι σπουδὴν ἔχοντας καλεῖν σπουδαίους. νῦν δὲ οὐχ ὁ περί τι σπουδάζων σπουδαῖος καλεῖται, ἀλλὰ μόνος ὁ ἀρετῆς μετέχων. ὥστε ποιὸς μὲν ἂν εἴη ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος, οὐ μέντοι καὶ παρώνυμος.

'Ε. Εἰρηκὼς δὴ αὐτάρκως περὶ τῆς σχέσεως τῶν ὀνομάτων τῆς πρὸς τὰ πράγματα καὶ τὰ περὶ τῆς σχέσεως τῶν ὅρων τῶν καθ' ἕκαστον ὀνομάτων τῆς πρὸς τὰ πράγματα, ἑξῆς περὶ τίνος φὴς διαλαμβάνειν τὸν 'Αριστοτέλην;

'Α. Λέγω τοίνυν ὅτι ἐπεὶ περὶ φωνῶν ἁπλῶν ἐστιν σημαντικῶν τῶν πραγμάτων ἡ πρόθεσις, καθὸ σημαντικαί εἰσιν αὐτῶν· εἰσὶ δὲ πρώτως κατὰ γένος ἀφοριζόμεναι καὶ κατὰ γένη τῶν πραγμάτων καὶ οὐ κατὰ ἀριθμὸν λαμβανόμεναι τὸν τῶν καθ' ἕκαστα καὶ τὸν τῶν ἀτόμων· ἐπεὶ τοίνυν ἡ πρόθεσις τοιαύτη, ἀναγκαίως ὅτι περὶ ἁπλῶν λέξεών ἐστι διδάξαι δεικνύς, οἷαί εἰσιν αἱ ἁπλαῖ.

'Ε. Τί γὰρ ἔφη;

2 ἧς] corrigas οὗ cf. v. 15 4. 5 an τοῦ ἀνδρείας? 5 ᾱ Cp: ᾱσ M 7 ἐκλελοιπότος M: ἐκλελειπότος p 9 ἀφ' ἧς] corrigas ἀφ' οὗ 11. 12 παρωνύμως (utrobique) et ὁμωνύμως M: παρώνυμον et ὁμώνυμον p 12 scribas ἀπὸ τῆς μουσικῆς ἐπειδὴ M: ἐπεὶ δὲ p 17 μετέχων M: μετέχειν p 20 τοῦ scripsi: τὸ Mp 21 ante σπουδαῖος add. ὁ p: om. M 22 τι (prius) ex τὴν corr. M 23 μόνος M: μόνον p ποῖος M 27 ante ἑξῆς iterata καὶ τὰ περὶ τῆς σχ punctis circumscr. M φὴς Zp: φησὶν M 28 περὶ φωνῶν ἐπεὶ colloc. M (corr. litteris superscr.) 29 πρόσθεσις (sed σ erasum) M σημαντικαί εἰσιν Simpl. (f. 10r1): σημαντικαὶ ἐστὶν M: σημαντικὴ ἐστὶν p 31 ἀτόμων M: ἀτόνων p 32 ἀναγκαίως M: ἀναγκαῖον p δεικνύς M: om. p; ex Simpl. corrigas ἐστι ⟨διὰ διαιρέσεως τῶν λεγομένων⟩ διδάξας δείκνυσιν

'Α. Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ ἄνευ συμπλοκῆς.

'Ε. Τὸ κατὰ συμπλοκὴν τί ἐστι καὶ ποσαχῶς λέγεται;

'Α. Διχῶς· τὰ μὲν γὰρ κατὰ συμπλοκὴν λέγεται, ὅσα συμπλεκτικῷ ἐμπεριέχεται συνδέσμῳ οἷον 'Σωκράτης καὶ Πλάτων', τὰ δὲ κατὰ συμπλοκὴν λέγεται, ὅσα ὁμοῦ προφέρεται πράγματα διὰ τὸ τὸ ἕτερον συμβεβηκέναι τῷ ἑτέρῳ οἷον 'Σωκράτης περιπατεῖ'. τῆς γὰρ περιπατήσεως συμ- 11v βεβηκυίας Σωκράτει, ὅταν λέγωμεν 'Σωκράτης περιπατεῖ', συμπλέξαντες τῷ Σωκράτει τὸ περιπατεῖν ἄνευ συνδέσμου τοῦ κατὰ φωνὴν λέγομεν 'Σωκράτης περιπατεῖ', ἄνευ δὲ συμπλοκῆς εἴποιμεν ἂν 'Σωκράτης', εἶτα πάλιν 'Πλάτων', ἢ οὕτως 'τρέχει', εἶτα πάλιν 'νικᾷ'. νῦν δὲ περὶ τῶν ἄνευ συμπλοκῆς λεγομένων πραγμάτων τε καὶ λέξεων ἡ πρόθεσίς ἐστιν, ἐν πόσοις γένεσι θεωρεῖται· ὡς γὰρ ἔχει τὰ πράγματα, οὕτως καὶ αἱ ταῦτα πρώτως δηλοῦσαι λέξεις.

'Ε. 'Αλλ' ὅτι μὲν περὶ ἁπλῶν σημαντικῶν λέξεων ἡ πρόθεσις, καθόσον εἰς γένη τινὰ ἀναφέρονται, παρέστησας· πῶς δ' ἂν αὐτὰ διέλοις εἰς ἐλαχίστην διαίρεσιν, μεθ' ἣν οὐκ ἔστιν ἐλάσσων, καὶ πῶς ἂν εἰς μεγίστην, μεθ' ἣν οὐκ ἂν γένοιτο μείζων, ἐπίδειξον.

'Α. Εἰς ἐλαχίστην μὲν οὖν διαίρεσιν γενῶν διέλοιμ' ἂν τὰ ὄντα καὶ τὰς τούτων σημαντικὰς φωνὰς τὴν εἰς τέσσαρα, λέγων ὅτι τὰ ὄντα ἢ οὐσία καθόλου ἢ οὐσία ἐπὶ μέρους ἢ συμβεβηκότα καθόλου ἢ συμβεβηκότα ἐπὶ μέρους· εἰς γὰρ διαίρεσιν ταύτης ἐλάσσονα οὐκ ἂν γένοιτο ἄλλη. εἰς δὲ μεγίστην διαίρεσιν διέλοιμ' ἂν εἰς δέκα, λέγων ὅτι τὰ ὄντα ἢ οὐσία ἢ ποσὰ ἢ ποιὰ ἢ πρός τι ἢ ποιεῖν ἢ πάσχειν ἢ ποτὲ ἢ ποῦ ἢ ἔχειν ἢ κεῖσθαι, ὥστε καὶ αἱ ταῦτα σημαίνουσαι ἁπλαῖ λέξεις τοσαύτας ἕξουσιν γενικὰς διαφοράς· μείζων δὲ τούτων οὐκ ἂν γένοιτο διαίρεσις.

'Ε. Διὰ τί οὖν εἰς τέσσαρα ἡ ἐλαχίστη γέγονε διαίρεσις;

'Α. Ὅτι ἡ μὲν ἀνωτάτω καὶ πρώτη γένοιτ' ἂν εἰς δύο, εἰς οὐσίαν καὶ συμβεβηκός· ἀλλ' ἐπεὶ οὐκ ἔστι ταῦτα προενέγκαι ἄνευ τοῦ ἢ καθόλου προενεγκεῖν ἢ ἐπὶ μέρους (αἵ τε γὰρ οὐσίαι ἢ καθολικῶς ἂν προενεχθεῖεν, ὥσπερ τὸ ζῷον, κύων, ἄνθρωπος, ἢ ἐπὶ μέρους, ὥσπερ Σωκράτης, Βουκέφαλος, τά τε συμβεβηκότα καθόλου ἢ ἐπὶ μέρους, ἡ γὰρ ἐπιστήμη καθόλου συμβεβηκός, ἡ δὲ 'Αριστάρχου ἐπιστήμη μερικὸν συμβεβηκός)· ἐπεὶ 12r τοίνυν οὐχ ἁπλῶς οὔτε ἡ οὐσία λέγεται ἀλλ' ἢ καθόλου ἢ μερικῶς καὶ ἀτόμως, οὔτε τὸ συμβεβηκὸς ἀλλὰ καὶ τοῦτο ἢ καθόλου ἢ μερικῶς, εἰς τέσσαρα γίνεται ἡ διαίρεσις, καίτοι πρώτως γενομένη εἰς οὐσίαν καὶ συμβεβηκός. γέγονεν οὖν εἰς οὐσίαν καθόλου καὶ συμβεβηκὸς καθόλου, εἰς οὐσίαν ἐπὶ μέρους καὶ συμβεβηκὸς ἐπὶ μέρους.

3 post τὸ add. δὲ p: om. M 4 λέγεται M: om. p 6 τὸ (alterum) M: om. p 10 εἴποιμεν M: εἴπομεν p 11 οὕτως M: οὗτος p 12 ἐστιν post πόσοις transp. p 17 ἐλάσσων et μεγίστην scripsi: ἐλαχίστη et μείζονα Mp 19 διέλοιμ' scripsi: διέλοιμεν Mp 20 τὴν M: τὰς p 22 ἐλάσσονα scripsi: ἐλαχίστην Mp 27 γέγονε Zp: bibliopegae culpa ablatum M 30 καθολικῶς Z: καθολικὸς M: καθολικῶν p 35 μερικῶς M: μερικὸν p

Ἐ. Ἐπεὶ τοίνυν τούτων τινὰ ἀλλήλοις οὐ δύναται συνελθεῖν καὶ τινὰ τούτων συνέλθοι ἄν;

Ἀ. Φημὶ τοίνυν ὅτι ἡ οὐσία οὐκ ἂν γένοιτο συμβεβηκὸς οὐδὲ τὸ συμβεβηκὸς οὐσία· συμβεβηκέναι μὲν γὰρ τὸ συμβεβηκὸς δύναται τῇ οὐσίᾳ, εἶναι δὲ οὐσίαν συμβεβηκὸς ἀδύνατον ἢ τὸ συμβεβηκὸς εἶναι οὐσίαν. πάλιν τὸ καθόλου ἐπὶ μέρους εἶναι ἀδύνατον, καὶ τὸ ἐπὶ μέρους εἶναι καθόλου ἀδύνατον. τοῦ δὲ ἐπὶ μέρους δύναταί τι κατηγορεῖσθαι τῶν καθόλου, οἷον Σωκράτους μερικῆς ὄντος οὐσίας κατηγορηθείη ἂν ὁ ἄνθρωπος, ὅπερ ἐστὶ καθόλου, ἔστι γὰρ Σωκράτης ἄνθρωπος. γίνονται οὖν συμπλοκαὶ τέσσαρες· τὸ γὰρ καθόλου συμπλέκεται ἢ τῇ οὐσίᾳ ἢ τῷ συμβεβηκότι, καὶ εἰσὶν αὗται δύο συμπλοκαί, καὶ τὸ ἐπὶ μέρους συμπλέκεται ἢ τῇ οὐσίᾳ ἢ τῷ συμβεβηκότι, καὶ εἰσὶν αὗται ἄλλαι δύο συμπλοκαί. οὔτε δὲ ἡ οὐσία καθόσον οὐσία γένοιτ' ἂν συμβεβηκὸς οὔτε δὲ τὸ συμβεβηκὸς καθόσον συμβεβηκὸς γένοιτ' ἂν οὐσία, καὶ πάλιν οὔτε τὸ καθόλου καθόσον καθόλου γένοιτ' ἂν μερικὸν οὔτε τὸ μερικὸν καθόσον μερικὸν γένοιτ' ἂν καθόλου.

Ἐ. Διὰ τί προσέθηκας τὸ καθόσον οὐσία καὶ ἐπὶ τῶν ἄλλων οὕτως;

Ἀ. Ὅτι γενέσθαι μὲν καὶ ὑποστῆναι τὰ συμβεβηκότα ἐν τῇ οὐσίᾳ δύναται, καθόσον δὲ συμβεβηκός ἐστι καὶ ἐπινοεῖται τὸ συμβεβηκός, οὐκ ἂν εἴη αὐτὸ τοῦτο οὐσία· τὸ γὰρ λευκὸν τῷ σώματι συμβαίη ἄν, φαμὲν γὰρ λευκὸν τὸ σῶμα, τὸ δὲ λευκόν, καθὸ λευκόν ἐστιν, οὐκ ἂν εἴη ταὐτὸν τῷ σώματι (ἔστι δὲ τὸ μὲν σῶμα οὐσία, τὸ λευκὸν δὲ συμβεβηκός), ἀλλὰ μετέχει μὲν τὸ σῶμα λευκότητος ὡς συμβεβηκυίας αὐτῷ, οὐκ ἔστι δὲ ταὐ- 12v
τὸν τὸ σῶμα τῇ λευκότητι. οὐδὲν γὰρ αὐτοῦ μετέχει, ἀλλ' ἔστι τοῦτο, ὅπερ ἐστίν. οὕτως καὶ τὸ καθόλου ᾗ καθόλου οὐκ ἂν εἴη τοῦ ἀτόμου μέρος, μετέχοι δ' ἂν τὸ ἄτομον πρᾶγμα τοῦ καθόλου, ὡς ἂν ἐν εἴδει ὄντος τοῦ ἀτόμου ἐν τῷ καθόλου ἢ ἐν γένει, ὡς ὁ Σωκράτης ἐν εἴδει μέν ἐστι τῷ ἀνθρώπῳ, ἐν γένει δὲ τῷ ζῴῳ. καὶ τὸ μέρος δὲ ἐν τῷ ὅλῳ, ὡς ἡ χεὶρ ἐν τῷ ὅλῳ σώματι. διὰ τοῦτο οὖν πρόσκειται τὸ ὃ ᾗ τοιοῦτον ἕκαστον, οὐκ ἂν εἴη τὸ ἕτερον.

Ἐ. Ἀλλὰ πῶς σὺ μὲν τὴν διαίρεσιν πεποίησαι, ὅτι τῶν ὄντων τὰ μὲν καθόλου οὐσίαι, τὰ δὲ καθόλου συμβεβηκότα, τὰ δὲ ἐπὶ μέρους οὐσίαι, τὰ δὲ ἐπὶ μέρους συμβεβηκότα, Ἀριστοτέλης δὲ οὐ τοιούτοις ὀνόμασι κέχρηται, ἀλλὰ ἄλλοις;

Ἀ. Ὅτι ἀντὶ τῶν ὀνομάτων τούτων τοὺς ἐξηγητικοὺς αὐτῶν λόγους ἔλαβεν καὶ οἷον ὑπογραφικούς. τὴν δὲ διαίρεσιν ταύτην τῶν γενικωτάτων

1 ἐπεὶ M: ἐπὶ p   τινὰ M: τίνα p   2 post συνέλθοι ἄν defectus est resarciendus verbis πόσαι ἂν γένοιντο αἱ συμπλοκαὶ αὐτῶν   8 Σωκράτους Zp: Σωκράτης M   11 τῷ Zp: τὸ M   12 εἰσὶν Zp: ἔστιν M   13 δὲ M: om. p   post καθόσον add. ἂν p: om. M   16 οὕτως] ὡσαύτως coni. Vitelli; id aut ὁμοίως (cf. p. 73,14) reponas   19 συμβαίει M   20 καθὸ λευκὸν M: om. p   21 τὸ δὲ λευκὸν colloc. p   22 λευκότητος Zp: λευκότητα M   23 οὐδὲν M: οὐδὲ p   23—24 οὐδὲν—ὅπερ ἐστίν exulare iubeas   25 μέρος ex μέρους corr. M   28 ὅλω M: om. p   35—73,2 τὴν δὲ διαίρεσιν—συμβεβηκότος post ἕτερον (v. 29) transpos. Felic., potius post συμβεβηκός (p. 71,29) adhibita correctione διὰ τὸ τὴν διαίρεσιν... illa trai cias, nisi malis inducere

εἶναι καὶ μὴ ἐχόντων ἄλλα πρὸ ἑαυτῶν ἕτερα γένη· οὔτε γὰρ τῆς οὐσίας εἴη ἄν τι ἐπαναβεβηκὸς γένος ἄλλο οὔτε τοῦ συμβεβηκότος.

Ἐ. Πῶς οὖν ὑπογραφικοὺς ἀποδέδωκεν λόγους, δεῖξον.

Ἀ. Δύο λαβὼν τό τε ἐν ὑποκειμένῳ εἶναι καὶ τὸ καθ' ὑποκειμένου λέγεσθαι καὶ δύο τούτων ποιήσας ἀποφάσεις τήν τε μὴ ἐν ὑποκειμένῳ εἶναι καὶ τὴν καθ' ὑποκειμένου μὴ λέγεσθαι ἐφήρμοσεν τοὺς τέσσαρας τούτους λόγους ταῖς ἁπλαῖς καὶ ἀσυνθέτοις τῆς διαιρέσεως ἐπινοίαις.

Ἐ. Τί ἐστιν ὃ λέγεις ταῖς ἁπλαῖς καὶ ἀσυνθέτοις τῆς διαιρέσεως ἐπινοίαις;

Ἀ. Λέγω ὅτι ἁπλαῖ ⟨καὶ⟩ ἀσύνθετοι ἐπίνοιαι ἐν διαιρέσει τοιαύτῃ ληφθεῖεν ἄν· τῶν ὄντων τὰ μὲν οὐσίαι, τὰ δὲ συμβεβηκότα, τὰ δὲ καθόλου, τὰ δὲ ἐπὶ μέρους. ἁπλοῦν γάρ τι ἐλήφθη καὶ ἀσύνθετον· τό τε γὰρ τὴν οὐσίαν εἰπεῖν ἁπλῶς εἴρηται καὶ τὸ συμβεβηκὸς εἰπεῖν ἁπλοῦν εἴρηται καὶ τὸ καθόλου εἰπεῖν ἁπλῇ λέξει εἴρηται καὶ τὸ μερικὸν ὁμοίως. συμπεπλεγμένως 13r δέ πως ἂν εἴποις, ὅταν οὕτως εἴπω· τῶν ὄντων τὰ μὲν οὐσίαι καθόλου, συμπλέκεται γὰρ ταῖς οὐσίαις τὸ καθόλου, τὰ δὲ ἐπὶ μέρους οὐσίαι, συμπλέκεται γὰρ τῇ οὐσίᾳ τὸ ἐπὶ μέρους, τὰ δὲ συμβεβηκότα καθόλου, συμπλέκεται γὰρ τῷ συμβεβηκότι τὸ καθόλου, τὰ δὲ ἐπὶ μέρους συμβεβηκότα, συμπλέκεται γὰρ τῷ συμβεβηκότι τὸ ἐπὶ μέρους. εἰ τοίνυν δειχθείη τίνας λόγους ἐξηγητικοὺς πεποίηται τῶν ἁπλῶν καὶ συμπλέξομεν, φανερὸν γίνεται.

Ἐ. Πῶς δεῖ συμπλέξαι τοὺς παραστατικοὺς τούτων λόγους, δεῖξον.

Ἀ. Παραστατικὸν τοίνυν καὶ οἷον ἐννοηματικὸν ἀποδέδωκε λόγον τοῦ συμβεβηκότος, καθόσον συμβεβηκός ἐστι, τὸ ἐν ὑποκειμένῳ εἶναι. ὥστε καθάπερ ἀδιάφορον ἄνθρωπον εἰπεῖν ἢ ζῷον λογικὸν θνητόν, οὕτως ἀδιάφορον ἢ συμβεβηκὸς εἰπεῖν ἢ ἐν ὑποκειμένῳ εἶναι· εἴ τι γὰρ συμβεβηκός, ἐκεῖνο ἐν ὑποκειμένῳ ἐστί, καὶ εἴ τί ἐστιν ἐν ὑποκειμένῳ, ἐκεῖνο συμβεβηκός ἐστιν. πῶς δὲ ἐν ὑποκειμένῳ εἴρηκεν, ὕστερον δείξω. ἀλλ' εἰ τὸ συμβεβηκὸς ἐν ὑποκειμένῳ ἐστίν, ἡ οὐσία ἑτέρα οὖσα τοῦ συμβεβηκότος εἴη ἂν οὐκ ἐν ὑποκειμένῳ. ὥστε εἴ τις οὐσία ἐστίν, ἐκείνη ἂν οὐκ ἐν ὑποκειμένῳ εἴη. πάλιν εἴ τί ἐστι καθόλου, ἐκεῖνο καθ' ὑποκειμένου λέγεται, εἰ δέ τί ἐστιν ἐπὶ μέρους, ἐκεῖνο οὐ καθ' ὑποκειμένου λέγεται. γεγόνασιν οὖν λόγοι τέσσαρες ἐξηγητικοὶ τῶν ἁπλῶν ὀνομάτων, τῆς μὲν οὐσίας τὸ ἐν ὑποκειμένῳ μὴ εἶναι, τοῦ δὲ συμβεβηκότος τὸ ἐν ὑποκειμένῳ εἶναι, καὶ τοῦ μὲν καθόλου τὸ καθ' ὑποκειμένου λέγεσθαι, τοῦ δὲ ἐπὶ μέρους τὸ καθ' ὑποκειμένου μὴ λέγεσθαι. ἀλλ' ἐπεὶ οὐ τῶν ἁπλῶν λεγομένων πεποίηται τὴν διαίρεσιν, συνθεὶς δὲ καὶ συμπλέξας, ὥστε εἶναι τὰ μὲν καθόλου οὐσίας, τὰ δὲ καθόλου συμβεβηκότα, τὰ δὲ ἐπὶ μέρους

1 ἄλλα M: ἀλλὰ p ἕτερα eicias 3 ἀποδέδωκεν M: ἀποδέδωκας p 8 λέγεις M: λέγεται p 10 καὶ inserui: om. Mp 13 ἁπλοῦν M: ἁπλῶς p 16 συμπλέκεται M^1: συμπέπλεκται M^2p ταῖς οὐσίαις] an τῇ οὐσίᾳ? 16. 17. 18. 19 συμπλέκεται M: συμπέπλεκται p 18 τὸ Zp: τῷ M 20 συμπλέξομέν M: συμπλέξοιμεν p 21 συμπέξαι M^1 (corr. m^2) 25 ἢ συμβεβηκὸς—εἶναι M: om. p 28 ἡ οὐσία M: τῇ οὐσίᾳ p οὖσα M: οὐσία p 33—34 τοῦ δὲ συμβ.—εἶναι M: om. p 35 τὸ καθ' ὑποκ. μὴ λέγεσθαι scripsi: τὸ οὐ καθ' ὑποκ. λέγεσθαι M (sed οὐ superscr. m^2) p

οὐσίας, τὰ δὲ ἐπὶ μέρους συμβεβηκότα, δεῖ καὶ ἡμᾶς συνθέτους τοὺς ἐξηγητικοὺς λόγους ἀντὶ τῶν συνθέτων ὀνομάτων εἰπεῖν. φέρε οὖν ἐμοῦ καὶ σοῦ λέγοντος σύνθεσίν τινα ὀνομάτων σύλλεγε τοὺς συμφώνους λόγους τοῖς ῥηθεῖσιν ὀνόμασι συμπλέξας. 13v

'Ε. Ποίησον ὃ λέγεις. ἰδοὺ γὰρ προβάλλω· ἡ καθόλου οὐσία πῶς ἂν διὰ τῶν λόγων σημανθείη ἐκείνων ὧν ἀπέδωκας;

'Α. Λέγω ὅτι ἐπεὶ τῶν καθόλου παραστατικὸν ἦν τὸ καθ' ὑποκειμένου λέγεσθαι, τῆς δὲ οὐσίας τὸ ἐν ὑποκειμένῳ μὴ εἶναι, ῥηθείη ἂν ἡ καθόλου οὐσία ἡ καθ' ὑποκειμένου μὲν λεγομένη, ἐν ὑποκειμένῳ δὲ μηδενὶ οὖσα.

'Ε. 'Αλλὰ μὴν τὸ καθόλου συμβεβηκὸς πῶς ἂν διὰ τῶν λόγων συνθεὶς παραστήσειας;

'Α. Λέγω ὅτι ἀντὶ μὲν τοῦ καθόλου λήψομαι ἐξηγητικὸν αὐτοῦ λόγον τὸ καθ' ὑποκειμένου λέγεσθαι, ἀντὶ δὲ τοῦ συμβεβηκότος τὸ ἐν ὑποκειμένῳ εἶναι· καὶ ἔσται ὁ συντεθεὶς λόγος σημαίνων τὸ καθόλου συμβεβηκὸς τὸ καθ' ὑποκειμένου λέγεσθαι καὶ ἐν ὑποκειμένῳ εἶναι.

'Ε. Πάλιν μοι τὴν μερικὴν οὐσίαν συνθεὶς σημαντικοὺς αὐτῆς λόγους δήλωσον.

'Α. Ἣ οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται οὔτε ἐν ὑποκειμένῳ ἐστί· καθὸ μὲν γὰρ οὐκ ἔστι καθόλου ἀλλὰ μερική, οὐκ ἂν καθ' ὑποκειμένου ῥηθείη, καθὸ δὲ οὐσία καὶ οὐ συμβεβηκός, οὐκ ἂν εἴη ἐν ὑποκειμένῳ.

'Ε. Πάλιν μοι τὸ μερικὸν συμβεβηκὸς διὰ τῶν λόγων παράστησον.

'Α. Λέγω ὅτι καθ' ὑποκειμένου μὲν μὴ λέγεσθαι, ἐν ὑποκειμένῳ δὲ εἶναι· καθόσον μὲν γὰρ μερικόν ἐστι, καθ' ὑποκειμένου οὐκ ἂν ῥηθείη, καθόσον δὲ συμβεβηκός, ἐν ὑποκειμένῳ ἂν εἴη.

'Ε. 'Επεὶ τοίνυν ἐμοῦ ἐρωτῶντος τὰ γνώριμα ὀνόματα τοὺς ποιηθέντας περὶ αὐτῶν λόγους ὑπὸ 'Αριστοτέλους εἴρηκας, ὅρα εἰ καὶ ἀναστρέψαντός μου καὶ ἐρωτῶντός σε, τί βούλονται οἱ ὑπὸ 'Αριστοτέλους λόγοι, δύνασαι εἰπεῖν μοι ὀνόματα γνώριμα.

'Α. 'Ερώτησον· καὶ γὰρ ὁ 'Αριστοτέλης παρεὶς τὰ γνώριμα ὀνόματα τοὺς ἐξηγητικοὺς αὐτῶν λόγους ἀντ' αὐτῶν εἴρηκε.

'Ε. Λέγε δή μοι, τί ἐστιν ὅ φησι τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστι.

'Α. Λέγω ὅτι ἔφη τῶν ὄντων τὰ μέν ἐστι καθόλου οὐσίαι.

'Ε. Πῶς καὶ πόθεν λαβὼν τοῦτο ἔφης;

'Α. Ὅτι τῶν μὲν καθόλου παραστατικὸς ἦν ὁ λόγος ὁ λέγων αὐτὰ 14r καθ' ὑποκειμένου λέγεσθαι, καὶ τῆς οὐσίας παραστατικὸς ἦν ὁ λόγος ὁ λέγων αὐτὴν μὴ ἐν ὑποκειμένῳ εἶναι.

---

1 ἐξηγητικοὺς Zp: ἐξητικοὺς M 2—4 φέρε—συμπλέξας magistro, Ποίησον ὃ λέγεις discipulo attribuit Felic., (haud recte) 2. 3 ἐμοὶ καὶ σοὶ λέγοντος M 7 ἐπεὶ p: ἐπὶ M 8 μὴ M: μὲν p 14 σημαίνων M: σημαίνειν p 18 ἣ M: ἢ p οὔτε ἐν ὑποκειμένῳ ἐστιν ante οὔτε καθ' ὑποκείμενου transp. p 22 an ὅτι ⟨τὸ⟩? (cf. v. 14) 26 ἀναστρέψαντος Zp: ἀναστρέψ— oblitter. M 28 an ὀνόματα ⟨τὰ⟩? 34 πόθεν λαβὼν Zp: oblitter. M ἔφης M: ἔχεις (in mrg. ἔφης) p

'Ε. Δὸς οὖν παράδειγμα.

'Α. Λέγω ὅτι ἄνθρωπος.

'Ε. Καὶ πῶς διὰ μιᾶς λέξεως καὶ ἁπλῆς τῆς ἄνθρωπος σύνθετον ἀποδέδωκας λόγον;

'Α. Ὅτι ἄνθρωπος διχῶς λέγεται καὶ ὡς οὐσία καὶ ὡς καθόλου καὶ οὐ τῶν ἐπὶ μέρους τι.

'Ε. Πῶς οὖν οὐσία ἐπινοεῖται;

'Α. Ὅτι οὐκ ἔστιν ἐν ὑποκειμένῳ ὁ ἄνθρωπος οὐδὲ συμβεβηκός τι.

'Ε. Πῶς δὲ καὶ ὅτι καθόλου;

'Α. Ὅτι καθ' ὑποκειμένου λέγεται τοῦ τινὸς ἀνθρώπου καὶ οὐκ ἔστι μερικόν τι καὶ ἄτομον, ἀλλὰ κατὰ πλειόνων λέγεται τῷ ἀριθμῷ διαφερόντων. καλῶς οὖν καὶ ὁ Ἀριστοτέλης εἶπεν ὅτι ἄνθρωπος καθ' ὑποκειμένου λέγεται τοῦ τινὸς ἀνθρώπου, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν. ὅτι μὲν γὰρ καθόλου ἐστί, καθ' ὑποκειμένου λέγεται τοῦ τινὸς ἀνθρώπου· λέγεται γὰρ ὁ Σωκράτης ἄνθρωπος καὶ ὁ Πλάτων. ἀλλ' οὕτως λέγεται ἄνθρωπος οὐχ ὅτι συμβέβηκε τῷ Σωκράτει ὡς τὸ μουσικὸν καὶ τὸ λευκόν, ἀλλ' ὅτι εἶδός ἐστι τοῦ Σωκράτους ὁ ἄνθρωπος, ὥσπερ καὶ τὸ ζῷον ἐὰν λέγῃς κατὰ τοῦ Σωκράτους, οὐχ ὡς συμβεβηκὸς ἐρεῖς ἀλλ' ὡς γένος· τὰ δὲ εἴδη καὶ τὰ γένη τῶν μὲν οὐσιῶν καὶ αὐτὰ οὐσίαι, τῶν δὲ συμβεβηκότων συμβεβηκότα. αἱ δὲ οὐσίαι οὐκ ἦσαν ἐν ὑποκειμένῳ, ὥστε οὐδὲ τὰ εἴδη οὐδὲ τὰ γένη τῶν οὐσιῶν ἔσται ἐν ὑποκειμένῳ, ἀλλὰ καθ' ὑποκειμένου μὲν ῥηθήσεται τῶν ἀτόμων οὐσιῶν, οὐ μέντοι καὶ ἐν ὑποκειμένῳ ἔσται.

'Ε. Διὰ τί οὖν τὰ μὲν καθόλου ἔφης καθ' ὑποκειμένου λέγεσθαι, τὰ δὲ συμβεβηκότα ἐν ὑποκειμένῳ εἶναι; τί γὰρ βούλεται τὸ τὰ μὲν λέγεσθαι φάναι σε, τὰ δὲ συμβεβηκότα εἶναι; βαθὺς ὁ λόγος καὶ μείζων τῆς σῆς ἕξεως· ὅτι γὰρ τὰ μὲν συμβεβηκότα ἐστὶν ὥσπερ καὶ αἱ οὐσίαι, τὰ δὲ καθόλου τι λέγεσθαι οὐκ ἔστιν ἐν ὑπάρξει, ἀλλὰ μέχρι ἐπινοίας λέγεται, οὐκ ἔστι τῆς τῶν εἰσαγομένων ἕξεως γνῶναι. ταῦτα μὲν οὖν παρείσθω· 14v ὅταν δὲ ἐπάγῃ τὰ δὲ ἐν ὑποκειμένῳ μέν ἐστι, καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται τί βούλεται, παράστησον.

'Α. Λέγω ὅτι τὰ συμβεβηκότα ἅ ἐστιν ἐπὶ μέρους· τὸ μὲν γὰρ ἐν ὑποκειμένῳ εἶναι παραστατικόν ἐστι τοῦ συμβεβηκότος, τὸ δὲ καθ' ὑποκειμένου οὐδενὸς λέγεται δηλοῖ τὸ ἐπὶ μέρους.

'Ε. Δὸς καὶ τούτου παράδειγμα.

'Α. Δώσω καὶ οὐχ ἕν, ἀλλ' ἐπεὶ τὰ μέν ἐστι συμβεβηκότα τῇ ψυχῇ τὰ δὲ συμβεβηκότα τῷ σώματι, δώσω ἀφ' ἑκατέρων παράδειγμα. ἐπὶ μὲν γὰρ συμβεβηκότος τῇ ψυχῇ λεγέσθω ἡ τὶς γραμματική· ἔστι δὲ τὶς γραμ-

---

12 post ὑποκειμένου add. μὲν Aristot. 17 ὁ ἄνθρ. τοῦ Σωκρ. colloc. p 19 εἴδη— μὲν Zp: oblitter. M 22 καὶ Zp: oblitter. an omissum incertum M 25 an τὰ μὲν ⟨καθόλου⟩? 27 ἐστὶν M: εἰσὶν p τὰ δὲ] corrigas τὸ δὲ 30 ἐστι supra scr. M 34 δηλοῖ M: δηλοῦν p 37 δώσω ἀφ' Zp: oblitter. M

ματικὴ ἡ Ἀριστάρχου φέρε εἰπεῖν· μερικὴ γὰρ ἡ Ἀριστάρχου γραμματική. αὕτη δὲ συμβέβηκε μὲν αὐτοῦ τῇ ψυχῇ, καὶ διὰ τοῦτό ἐστιν ὡς ἐν ὑποκειμένῳ τῇ ψυχῇ. καθ' ὑποκειμένου δὲ οὐ λέγεται· μερικὴ γάρ ἐστι, τὸ δὲ μερικὸν ἄτομον ὂν οὐκ ἂν ῥηθείη καθ' ὑποκειμένου. τοῦτο μὲν οὖν τὸ παράδειγμα ψυχικοῦ συμβεβηκότος, σωματικοῦ δὲ τὸ τὶ λευκόν· ἐν ὑποκειμένῳ γάρ ἐστι τῷ σώματι, ἔστι γὰρ τὸ λευκὸν χρῶμα, ἅπαν δὲ χρῶμα ἐν σώματι· καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται, οὐ γάρ ἐστι καθόλου τὸ λευκὸν ἀλλ' ἐπὶ μέρους.

Ἐ. Ὅταν δὲ ἐπάγῃ ὁ Ἀριστοτέλης τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται καὶ ἐν ὑποκειμένῳ ἐστί, τί σημαίνει διὰ τῆς τοιαύτης τῶν λόγων συμπλοκῆς;

Ἀ. Φημὶ ὅτι βούλεται λέγειν· τὰ δέ ἐστι καθόλου συμβεβηκότα. διὰ μὲν γὰρ τοῦ φάναι τὰ μὲν καθ' ὑποκειμένου λέγεται δηλοῖ ὅτι τὰ καθόλου λέγει· τῶν γὰρ καθόλου ἦν ἐξηγητικὸς λόγος τὸ καθ' ὑποκειμένου λέγεσθαι. διὰ δὲ τοῦ ἐν ὑποκειμένῳ εἶναι, ὅτι συμβεβηκότα λέγει· ταῦτα γὰρ ἦν ἐν ὑποκειμένῳ. λέγει τοίνυν ὅτι τὰ δέ ἐστι καθόλου συμβεβηκότα.

Ἐ. Δὸς οὖν παράδειγμα.

Ἀ. Οἷον ἡ ἐπιστήμη· ἡ γὰρ ἐπιστήμη τῇ ψυχῇ συμβεβηκυῖα ὑποκείμενον αὐτῇ ἔχει τὴν ψυχήν· ὑπόκειται γὰρ τῇ ἐπιστήμῃ ἡ ψυχή. καθολικὴ γὰρ οὖσα κατὰ τῶν μερικωτέρων ἐπιστημῶν λέγεται οἷον κατὰ τῆς γραμματικῆς· γένος γάρ ἐστιν ἡ ἐπιστήμη τῆς γραμματικῆς. ἔστι δὲ συμβε- 15r
βηκὸς ἡ γραμματική, συμβεβηκὸς δὴ καὶ ἡ ἐπιστήμη· τὰ γὰρ τῶν συμβεβηκότων γένη καὶ εἴδη καὶ αὐτὰ συμβεβηκότα.

Ἐ. Παράγων τοίνυν καὶ τὸ λοιπὸν τῆς διαιρέσεως μέρος ὁποῖον εἶναι λέγει;

Ἀ. Λέγε ποῖον.

Ἐ. Τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου λέγεται.

Ἀ. Φημὶ ὅτι διὰ τούτου τοῦ λόγου φησί· τὰ δέ ἐστιν ἄτομοι οὐσίαι· διὰ μὲν γὰρ τοῦ φάναι οὐκ ἐν ὑποκειμένῳ ἔφη οὐσίας εἶναι, διὰ δὲ τοῦ οὐ καθ' ὑποκειμένου λέγεσθαι ἔφη ἀτόμους εἶναι.

Ἐ. Δὸς οὖν παράδειγμα.

Ἀ. Οἷον ὁ τὶς ἵππος, ὡς Ἀλεξάνδρου Βουκέφαλος ἐλέγετο, καὶ ὁ τὶς ἄνθρωπος οἷον Σωκράτης· οὐδὲν γὰρ τῶν τοιούτων οὔτε ἐν ὑποκειμένῳ ἐστίν, οὐ γάρ ἐστι συμβεβηκὸς ἀλλ' οὐσία, οὔτε καθ' ὑποκειμένου λέγεται, οὐ γὰρ λέγεται καθόλου ἀλλ' ἐπὶ μέρους. ταῦτα ἐπήγαγε διδάξαι θέλων τοὺς

---

1 τοῦ Ἀριστάρχου p 2. 3 καὶ διὰ τοῦτο — ψυχῇ M: om. p 18 δὸς οὖν Zp: oblitt. M 20 αὐτῇ] αὐτῇ M: om. p τὴν ψυχὴν M: τῇ ψυχῇ p post ψυχή suppleri debent καὶ καθ' ὑποκειμένου δὲ λέγεται ἡ ἐπιστήμη 21 οὖσα M: οὐσία p 23 δὴ M: δὲ p 25 λοιπὸν M: λειπὸν p 28 ἐστὶν addidi: quiddam, ut videtur, oblitter. M: om. Zp post ὑποκειμένου (alterum) add. τινὸς Aristot. 31 post ὑποκειμένῳ inseras ἐστὶν 35 οὔτε scripsi: οὐδὲ Mp 37. 77,1 corrigas τοὺς τῶν ἁπλῶς καὶ ἄνευ συμπλοκῆς λεγομένων

ἁπλῶς καὶ ἄνευ συμπλοκῆς αὐτῶν λεγομένους ὑπογραφικοὺς λόγους, ὅπερ ἐξ ἀρχῆς ἡμεῖς ὑπεδείξαμεν εἰπόντες ὅτι τοῦ ἀτόμου καὶ μὴ καθόλου ἀλλ' ἓν ἀριθμῷ ὄντος σημαντικόν ἐστι τὸ μὴ καθ' ὑποκειμένου τινὸς λέγεσθαι, ὥσπερ τοῦ καθόλου τὸ καθ' ὑποκειμένου τινὸς λέγεσθαι, ὥσπερ καὶ τοῦ μὲν συμβεβηκότος παραστατικὸς λόγος τὸ ἐν ὑποκειμένῳ εἶναι, τῆς δὲ οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἐπεὶ τοίνυν συμπλέκεται ἡ οὐσία τῷ συμβεβηκότι, φησί, καθὸ μὲν ἐπὶ μέρους ἐστίν, ἄν τε οὐσία ᾖ ἄν τε συμβεβηκός, καθ' ὑποκειμένου οὐδενὸς λέγεται. εἰ μέντοι συμβεβηκὸς εἴη τὸ ἐπὶ μέρους, ἐνδέχεται ἐν ὑποκειμένῳ εἶναι, ὡς εἴ γε οὐσία εἴη τὸ ἐπὶ μέρους, οὔτε ἐν ὑποκειμένῳ ἂν εἴη οὔτε καθ' ὑποκειμένου τινὸς λέγοιτο, εἰ δὲ ἐπὶ μέρους συμβεβηκός, καθ' ὑποκειμένου μὲν οὐκ ἂν κληθείη τινός, ἐν ὑποκειμένῳ δὲ ἂν εἴη.

'Ε. Ἀλλὰ τοῦτο δὴ τὸ ἐν ὑποκειμένῳ ποῖόν τι εἴληπται, καὶ πῶς ἐξηγήσατο ὁ Ἀριστοτέλης;

'Α. Οὕτως· ἐν ὑποκειμένῳ δὲ λέγω, ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστίν.

'Ε. Τί οὖν βούλεται λέγειν διὰ τούτου;

'Α. Φημὶ ὅτι ἐν ὑποκειμένῳ ἔφη ἐκεῖνο εἶναι τὸ ἔν τινι ὄν· ἀλλ' ἐπεὶ τὸ ἔν τινι ὂν πλεοναχῶς δηλοῦται καὶ ἔστιν ὁμώνυμον, δεῖ προστεθῆναί 15v τινα, ἵνα ὃ ἰδίως βούλεται ἔν τινι σημαντικὸν εἶναι τοῦ συμβεβηκότος καὶ τοῦ ἐν ὑποκειμένῳ ἀφορισθῇ. ἔστι τοίνυν τὸ ἔν τινι τῶν πλεοναχῶς λεγομένων· καὶ γὰρ τὸ ἐν τόπῳ ἔν τινι λέγεται ὡς ἐν τῇ οἰκίᾳ ὁ Σωκράτης ἢ ἐν Λυκείῳ ἢ ἐν βαλανείῳ ἢ ἐν θεάτρῳ. ἔστιν ἔν τινι καὶ τὸ ὡς ἐν ἀγγείῳ οἷον ὡς ἐν τῷ ἐκπόματι τὸ ὕδωρ καὶ ἐν τῷ ἀμφορεῖ ὁ οἶνος. ἔστιν ἔν τινι καὶ τὸ ὡς μέρος ἐν τῷ ὅλῳ ὥσπερ ἡ χεὶρ ἐν τῷ ὅλῳ τοῦ ἀνθρώπου σώματι. ἔστιν ἔν τινι καὶ τὸ ὥσπερ τὸ ὅλον ἐν πᾶσι τοῖς αὐτοῦ μέρεσιν. ἔστιν ἔν τινι καὶ τὸ ὡς ἐν τῷ γένει τὸ εἶδος καθάπερ ἐν τῷ ζῴῳ ὁ ἄνθρωπος· περιέχεται γὰρ τὸ εἶδος ὑπὸ τὸ γένος. ἔστιν ἔν τινι ὡς γένος ἐν τῷ εἴδει· μετέχει γὰρ τὰ εἴδη τοῦ γένους· τὸ γὰρ ζῷον κατηγορεῖται τοῦ ἀνθρώπου ὡς μετεχόμενον ὑπὸ τοῦ ἀνθρώπου. ἔστιν ἔν τινι ὡς τὸ ἐν τέλει εἶναι· ἐν γὰρ τῷ εὐδαιμονεῖν, ὅπερ ἐστὶ τέλος τοῦ ἀνθρώπου, τὰ πάντα ἐστὶ τοῖς ἀνθρώποις. ἔστι δὲ ἄλλο ἔν τινι τὸ ἐν τῷ κρατοῦντι, ὡς λέγομεν ἐν τῷ βασιλεῖ εἶναι τὰ πράγματα. ἄλλο δὲ πάλιν ἔν τινι τὸ ὡς ἐν τῇ ὕλῃ τὸ εἶδος καθάπερ ἐν τῷ χαλκῷ ἡ μορφὴ τοῦ ἀνδριάντος κἀν τῷ σιδήρῳ τὸ σχῆμα τῆς μαχαίρας κἀν τῇ ψυχῇ ἡ ἐπιστήμη κἀν τῷ σώματι τὸ χρῶμα.

'Ε. Πόσα οὖν σημαινόμενα τοῦ ἔν τινι κατηρίθμησας;

'Α. Ἐννέα;

1. 2 ὑπογραφικοὺς — ὑπεδείξαμεν Zp: oblitter. M 3 ἓν M: ἐν p 4 τοῦ καθόλου — λέγεσθαι ὥσπερ M: om. p 6 οὐ συμπλέκεται sec. Felic. scribas 7 post μέρους adde τι 14 ὁ M: om. p 16 ὑπάρχων M 18 τὸ M: τῷ p 22. 23 τόπῳ — Λυκείῳ Zp: oblitt. M 23 Λυκείῳ] λυκίω Zp 24 ἀμφορεῖ M: ἀφορεῖ p 28 τοῦ γένους coni. Diels 31 τῷ] τὸ Mp

'Ε. Τίνα ταῦτα;

'Α. Τὸ ὡς ἐν τόπῳ, τὸ ὡς ἐν ἀγγείῳ, τὸ ὡς ἐν ὅλῳ τὸ μέρος καὶ τὸ ὡς ἐν τοῖς μέρεσι τὸ ὅλον καὶ τὸ ὡς ἐν τῷ γένει τὸ εἶδος καὶ τὸ ὡς ἐν τῷ εἴδει τὸ γένος καὶ τὸ ὡς ἐν τέλει καὶ τὸ ὡς ἐν τῷ κρατοῦντι καὶ τὸ ὡς ἐν τῇ ὕλῃ τὸ εἶδος.

'Ε. Ποῖον οὖν τούτων τῶν ἐννέα λαμβάνεται ἐν τῷ ὑποκειμένῳ ἔν τινι;

'Α. Τὸ ὡς ἐν τῇ ὕλῃ τὸ εἶδος.

'Ε. Διὰ τί;

'Α. Ὅτι μόνα τὰ εἴδη τῶν ὑλῶν ἀχώριστά ἐστιν.

'Ε. Ἅμα οὖν καὶ ὁ 'Αριστοτέλης τῶν ἐννέα ἐμνήσθη;

'Α. Οὐδαμῶς.

'Ε. 'Αλλὰ τίνων;

'Α. Δύο μόνων, τοῦ τε ὄντος ἔν τινι ὡς ἐν ὅλῳ εἶναι μέρος καὶ τοῦ ἐν ἀγγείῳ ὄντος· ἔφη γὰρ ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον· οὐ γὰρ οὕτως ἐστὶν τὸ ἐν ὑποκειμένῳ ἔν τινι, ὥσπερ ἐν τῷ ὅλῳ τὸ μέρος. οὐδὲ 16r μὴν οὕτως, ὡς τὸ ἐν ἀγγείῳ· τὰ μὲν γὰρ ἐν ἀγγείῳ δύναται χωρὶς γενέσθαι ἐκείνων σῳζόμενα ἐν οἷς ἔστιν, τὸ δὲ συμβεβηκός, ὅπερ ἐν ὑποκειμένῳ, ἔφη ἀδύνατον χωρὶς εἶναι ἐκείνου ἐν ᾧ ἔστιν, οὐχ ὅτι χωρίζεται ἡ λευκότης φέρε τοῦ σώματος καὶ τὸ σχῆμα τοῦ χαλκοῦ, ἀλλ' ὅτι οὐ σῳζόμενον χωρίζεται ὡς ὁ οἶνος ἐκ τοῦ ἀγγείου, ἀλλ' ὅτι εἰ χωρίζοιτο, φθείρεται, οὐδὲ χωρίζεται οὖν, ἀλλὰ μόνον φθείρεται.

'Ε. 'Επεὶ τοίνυν σαφῆ πεποίηκας τὴν διαίρεσιν καὶ τὰ ἐν αὐτῇ ῥηθέντα, ἔτι μοι τοῦτο εἰπέ· ἐνὸν γὰρ πολλαχῶς ἐκθέσθαι τὴν διαίρεσιν, καὶ γὰρ οὕτως ἦν εἰπεῖν· ἐρῶ δὲ διὰ τῶν ὀνομάτων, λέγων ὅτι τῶν ὄντων τὰ μὲν καθόλου συμβεβηκότα, τὰ δὲ καθόλου οὐσίαι, ἢ ἔμπαλιν τὰ μὲν καθόλου οὐσίαι, τὰ δὲ καθόλου συμβεβηκότα, ἢ τὰ μὲν ἐπὶ μέρους συμβεβηκότα, τὰ δὲ ἐπὶ μέρους οὐσίαι, ἢ ἔμπαλιν τὰ μὲν ἐπὶ μέρους οὐσίαι, τὰ δὲ ἐπὶ μέρους συμβεβηκότα· ἐνὸν οὖν πολλαχῶς οὕτως εἰπεῖν, ὅτι τῶν ὄντων τὰ μὲν καθόλου οὐσίαι, τὰ δὲ ἐπὶ μέρους οὐσίαι, τὰ δὲ καθόλου συμβεβηκότα, τὰ δὲ ἐπὶ μέρους συμβεβηκότα· ἐνὸν δὲ καὶ οὕτως, τῶν ὄντων τὰ μὲν καθόλου οὐσίαι, τὰ δὲ ἐπὶ μέρους συμβεβηκότα, ἢ ἔμπαλιν τὰ μὲν ἐπὶ μέρους συμβεβηκότα, τὰ δὲ καθόλου οὐσίαι, καὶ τὰ μὲν καθόλου συμβεβηκότα, τὰ δὲ ἐπὶ μέρους οὐσίαι, ἢ ἔμπαλιν τὰ μὲν ἐπὶ μέρους οὐσίαι, τὰ δὲ καθόλου συμβεβηκότα· ἐνὸν οὖν πολλαχῶς οὕτως διελεῖν, εἰπὲ τοίνυν, ὁ 'Αριστοτέλης κατὰ ποίαν τάξιν τὴν διαίρεσιν ἐξέθετο;

'Α. Κατὰ τὴν χιαστὴν λέγω.

'Ε. Τίς γάρ ἐστιν ἡ χιαστή;

7 ὡς M: om. p 13 μόνων M: μόνον p ὄντος ἔν τινι Zp: oblitter. M 18 ἐκείνου] τοῦ Aristot. ὅτι ⟨οὐ⟩ corrigas secundum Felic. 20. 21 ἀλλ' ὅτι εἰ — μόνον φθείρεται fort. scholiastae debentur 21 οὐδὲ χωρίζεται — φθείρεται M: om. p
22. 79,10 Ἐπεὶ τοίνυν — ἀπεδείχθη post κατηγορεῖται (p. 17v30 ed. pr.) transponas
24. 34 ἐρῶ — συμβεβηκότα discipulo attrib. M²p: corr. Felic. 34 διελεῖν M: διαιρεῖν p
37 γὰρ M: om. p

'Α. Λέγω ὅτι ἡ οὐσία συμβεβηκὸς ἀντιδιαιροῦσα καὶ τὸ καθόλου ἐπὶ μέρους.

'Ε. Σαφέστερον εἰπὲ ὃ λέγεις.

'Α. Τὸ γὰρ οὕτως διελεῖν καὶ εἰπεῖν, τῶν ὄντων τὰ μὲν ἢ καθόλου οὐσίαι ἢ ἐπὶ μέρους συμβεβηκότα, καὶ τὰ μὲν ⟨ἢ⟩ καθόλου συμβεβηκότα ἢ ἐπὶ μέρους οὐσίαι, χιάζοντος ἦν καὶ μήτε τὰ καθόλου κατὰ στοῖχον ἀριθμοῦντος 16v μήτε τὰ κατὰ μέρος, μήτε τὰς οὐσίας κατὰ στοῖχον μήτε τὰ συμβεβηκότα.

'Ε. Καὶ πόθεν δῆλον ὅτι οὕτως διεῖλεν;

'Α. Ὅτι τὰ ἐξηγητικὰ αὐτῶν ὀνόματα παραλαμβάνων ἃ συνέπλεξεν οὕτως ἐξέθετο, ὡς ἀπεδείχθη.

'Ε. 'Αλλ' εἰ τὰ συμβεβηκότα ἔν τινι μὴ ὡς μέρος ὑπάρχοντα ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἔστιν, πῶς ὁ Σωκράτης ἐν τόπῳ ὢν καὶ μὴ ὡς μέρος ὑπάρχων τοῦ τόπου καὶ μηδέποτε δυνάμενος χωρὶς τόπου εἶναι οὐκ ἂν εἴη συμβεβηκός;

'Α. Ὅτι τὸ συμβεβηκὸς ἔν τινι σώματι ὂν οὐ δύναται ἀπολιπεῖν τοῦτο τὸ σῶμα καὶ ἐν ἄλλῳ καὶ ἄλλῳ γενέσθαι, ὁ δὲ Σωκράτης τόπου μὲν οὐ χωρίζεται, τοῦδε δὲ τοῦ τόπου χωρίζεται.

'Ε. Τί οὖν ἡ τούτων διαφορά;

'Α. Ὅτι ἀεὶ μὲν ἐν τόπῳ ὁ Σωκράτης, ἀπολιπὼν δὲ τὸν πρότερον ἐν ἑτέρῳ καὶ ἑτέρῳ ἐστί, τὸ δὲ ἐν ὑποκειμένῳ οὐδενὶ τρόπῳ ἀπολείπεται τοῦ ἐν ᾧ ἔστιν.

'Ε. 'Αλλὰ πῶς οὐκ ἄτοπον λέγειν μὴ χωρίζεσθαι τὰ συμβεβηκότα σαφῶς καὶ τῆς εὐωδίας χωριζομένης τοῦ μήλου καὶ τῆς γλυκύτητος;

'Α. Μὴ γὰρ ὁ 'Αριστοτέλης ἔφη ἀδύνατον χωρίζεσθαι.

'Ε. 'Αλλὰ τί ἔφη;

'Α. 'Αδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἔστιν. ἄλλο δέ ἐστι τὸ χωρίζεσθαι καὶ ἄλλο τὸ χωρὶς εἶναί τινος· οὐδὲ γὰρ ἔφη ἀδύνατον χωρὶς εἶναι ἐκείνου ἐν ᾧ ἦν, ἀλλὰ ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἔστιν. ἡ γὰρ εὐωδία χωρίζεσθαι μὲν δύναται τοῦ ἐν ᾧ ἔστι, χωρὶς δὲ εἶναι καθ' αὑτὴν οὐχ οἵα τέ ἐστιν, ἀλλ' ἢ φθείρεται ἢ μεταδίδοται εἰς ἄλλο ὑποκείμενον. ὅτι γὰρ χωρὶς εἶναι καθ' αὑτὸ ἄνευ ὑποκειμένου τινὸς θεωρούμενον ἀμήχανον τὸ συμβεβηκός, τοῦτο ἐπεσημήνατο, ἀλλ' οὐχ ὅτι χωρίζεσθαι ἀδύνατον.

'Ε. 'Αλλὰ τί μὲν τὸ ἐν ὑποκειμένῳ, διὰ τοῦ δοθέντος ὅρου ἐδίδαξεν· λείπεται οὖν διδάξαι, καὶ τί τὸ καθ' ὑποκειμένου λέγεσθαι. ποῦ τοίνυν περὶ τούτου ἐδίδαξεν;

---

5 ἢ (post μὲν) addidi 6. 7 στοῖχον M: στίχον p 11 ὡς M: om. p 16 ὂν Zp: ὢν M ἀπολιπεῖν Zp: ἀπολειπεῖν M 18 τοῦδε δὲ τοῦ M (δε m² supra scr.): τοῦ δὲ p 20 ἀπολειπὼν M 21 οὐδενὶ τρόπῳ ἀπο— Zp: oblitter. M 27 δὲ M: δὴ p 30 ἡ γὰρ εὐωδία — ἐν ᾧ ἔστι om. M (suppl. in mrg.) 31 ἐστιν Zp: ἢ (sic) M 32 γὰρ M: om. p 33 ἐπεσημήνατο p: ἐπισημήνατο M 36—37 λείπεται—ἐδίδαξεν M: om. p

'Α. Ἐν τοῖς ἑξῆς, λέγων ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου.

'Ε. Τί οὖν φησιν καὶ ποταπὸν εἶναι ⟨τὸ καθ' ὑποκειμένου λέγεσθαι⟩;

'Α. Καθ' ὑποκειμένου φησὶν ἐκεῖνο κατηγορεῖσθαί τινος, ὅταν ἐν τῷ τί ἐστι κατηγορῆται ἐκεῖνο ⟨ὃ⟩ ἀποδίδοται. οἷον τὸ περιπατεῖν κατηγορεῖται κατὰ Σωκράτους· ἀλλ' ἐὰν ἀποδιδῶμεν, τί ἐστιν Σωκράτης, οὐκ ἂν εἴποιμεν 17r αὐτὸν τὸ περιπατεῖν, ὥστε οὐ καθ' ὑποκειμένου κατηγορεῖται τοῦ Σωκράτους τὸ περιπατεῖν. κατηγορεῖται δὲ τοῦ Σωκράτους καὶ ὁ ἄνθρωπος· εἴποις γὰρ ἄν· Σωκράτης ἄνθρωπος· ἀλλὰ κἂν ἐρωτηθῇς, τί Σωκράτης, ἀποδιδοίης ἂν ὅτι ἄνθρωπος. ὁ τοίνυν ἄνθρωπος κατὰ τοῦ Σωκράτους καθ' ὑποκειμένου κατηγορεῖται. πάλιν ἡ γραμματικὴ ὄνομα δήπου ῥηθείη ἄν· ἀλλ' ἐὰν ἐξετάζῃς, τί ἐστιν ἡ γραμματική, οὐκ ἂν εἴποις ὄνομα· οὐ γὰρ ἡ οὐσία τῆς γραμματικῆς ὄνομά ἐστιν, ἐπεὶ πᾶς ἂν ἐδύνατο τοῦ ὀνόματος μετέχων εἶναι γραμματικὸς τῷ ὄντι· ἀλλ' ἔστιν ἡ γραμματικὴ ἐπιστήμη, ὥστε ἡ μὲν ἐπιστήμη κατὰ τῆς γραμματικῆς καθ' ὑποκειμένου λέγεται, τὸ δὲ ὄνομα οὐ καθ' ὑποκειμένου λέγεται. καὶ αὐτὸς δὲ προελήφθη φησὶν ὅτι τὰ καθ' ὑποκειμένου κατηγορούμενα καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν λόγον ἐφαρμόζειν ὀφείλει τῷ ὑποκειμένῳ. τὰ δὲ ἐν ὑποκειμένῳ κατὰ μὲν τὸν λόγον οὐδέποτε, κατὰ δὲ τοὔνομα ἐφαρμόσειεν ἄν ποτε τῷ ὑποκειμένῳ· ὥστε τὸ καθ' ὑποκειμένου κατηγορεῖται, ὃ καθολικώτερον ὂν τοῦ ὑποκειμένου ἐφαρμόζειν αὐτῷ δύναται καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν λόγον, τοῦτ' ἔστι συνωνύμως λέγεσθαι δύναται κατὰ τοῦ ὑποκειμένου. τοιαῦτα δέ ἐστι τὰ εἴδη καὶ τὰ γένη τῶν ὑποκειμένων, εἴτε οὐσίαι εἶεν εἴτε συμβεβηκότα· ὅτι γὰρ καθολικόν ἐστι τὸ καθ' ὑποκειμένου, ἐδήλωσεν εἰπὼν τὰ ἄτομα μὴ εἶναι καθ' ὑποκειμένου. δεῖ τοίνυν τὸ καθ' ὑποκειμένου μὴ ἄτομον εἶναι ἐν τῷ τί τοῦ ὑποκειμένου κατηγορούμενον. διὸ καὶ καθολικώτερόν ἐστι τοῦ ὑποκειμένου.

'Ε. Τί οὖν ἐκ τούτων συμβαίνει;

'Α. Φησὶν ὁ Ἀριστοτέλης τί συμβαίνει· ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

'Ε. Ἀλλὰ πῶς τοῦτο ἀληθές; ὁ μὲν γὰρ ἄνθρωπος κατὰ Σωκράτους 17v λέγεται καθ' ὑποκειμένου· κατὰ δὲ τοῦ ἀνθρώπου κατηγορεῖται οὐ μόνον τὸ ζῷον ἀλλὰ καὶ τὸ εἶδος· εἶδος γὰρ ὁ ἄνθρωπος. οὐ μὴν ἔτι κατὰ τοῦ

---

1 ἐν τοῖς ἑξῆς λέγων M: ἐν τοῖς ἓξ καὶ λέγεται p 1. 5 κατηγορῆται Zp: κατηγορεῖται M 3 τί οὖν φησιν καὶ ποταπὸν εἶναι τὸ M: om. p καθ' ὑποκειμένου λέγεσθαι inserui personarum vice significata: om. Mp 4 post ὑποκειμένου add. μὲν p: om. M 5 ὃ addidi: om. Mp 8 καὶ ὁ ἄνθρωπος Zp: oblitter. M 9 ἐρωτηθῇς Zp: ἐρωτηθεὶς M post τί add. ἐστι p: om. M 12 ἐξετάζῃς] an ἐξετάζῃ τις? 16 προελήφθη] προλαβὼν Felic. *(quin ipse hoc praedocuit, cum diceret)*, sed corruptela gravior videtur, ⟨ὡς⟩ προελήφθη coni. Diels 20 τὸ καθ' ὑποκ. κατηγορεῖται] an ἐκεῖνο vel τοιοῦτο καθ' ὑποκ. κατηγορεῖται? 25 ἐδήλωσεν Zp: oblitter. M 26 εἶναι ἐν τῷ τι Zp: oblitter. M 30. 81,6 κατηγορῆται Zp: κατηγορεῖται M 32. 81,4 Ἀλλὰ πῶς — οὐ γὰρ] distribui: ante ὁ μὲν γὰρ (v. 32) et πῶς εἴρηται (p. 81,4) et οὐ γὰρ (p. 81,4) vices signif. M^{2}p

Σωκράτους πάντα κατηγορηθήσεται, ἀλλὰ τὸ μὲν ζῷον κατηγορηθήσεται, οὐκέτι δὲ καὶ τὸ εἶδος· οὐ γὰρ Σωκράτης εἶδος.

'Α. 'Αλλ' ὁρᾷς ὅτι ἡ ἀτοπία γέγονε παρὰ τὸ μὴ ἐκδέξασθαι ὀρθῶς, πῶς εἴρηται ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται· οὐ γὰρ ἁπλῶς εἴρηκεν ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ἀλλ' εἰπὼν ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου δέδωκεν ὑπολαβεῖν τὸ συνωνύμως καὶ ἐν τῷ ⟨τί ἐστι⟩ τὸ τηνικαῦτα· ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. οἷον τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου ὡς καθ' ὑποκειμένου κατηγορεῖται· ἐφαρμόζει γὰρ τῷ ἀνθρώπῳ καὶ τοὔνομα τοῦ ζῴου καὶ ὁ λόγος· ζῷόν τε γὰρ ὁ ἄνθρωπος καὶ οὐσία ἔμψυχος αἰσθητική. τὸ δὲ εἶδος ἐφαρμόζει μὲν κατὰ τοὔνομα· εἶδος γὰρ ἂν ῥηθείη ὁ ἄνθρωπος· οὐ μὴν ἐν τῷ τί ἐστιν ὁ ἄνθρωπος τῷ ἐρωτῶντι περὶ τῆς οὐσίας αὐτοῦ ἥτις ἐστὶν ἀποδοθείη ἂν ὅτι εἶδος, ἀλλ' ὅτι ζῷον. τὸ δὲ εἶδος λέγεσθαι τὸν ἄνθρωπον ἀντιδιαιρεῖται πρὸς τὸ μὴ τῶν ἀτόμων εἶναι, ἀλλὰ τῶν κατὰ κοινότητα προσαγορευομένων. τὸ δὲ κατὰ κοινότητα τὸν ἄνθρωπον λέγεσθαι συμβεβηκότος ἐστὶ παραστατικὸν μᾶλλον ἢ οὐσίας, συμβεβηκότος δὲ οὐ τοῦ κυρίως ἀλλὰ τοῦ ἐοικότος διαφορᾷ τινι. διαφέρει δὲ ὁ ἄνθρωπος τοῦ Σωκράτους, ὅτι ὁ μὲν κατὰ κοινότητα λέγεται, ὁ δὲ Σωκράτης οὐ κατὰ κοινότητα ἀλλὰ ἀτόμως. ᾗ οὖν κατὰ κοινότητα εἶδος, ὁ ἄνθρωπος λέγεται, καὶ καθὸ γένος, τὸ ζῷον. συμβέβηκε δὲ τούτοις κατὰ πλειόνων εἶναι περιεκτικά, ἐν δὲ τῷ τί ἐστιν ἡ οὐσία τοῦ ἀνθρώπου κατηγορεῖται.

'Ε. Μετὰ δὲ ταῦτα περὶ τίνων διδάσκει ὁ 'Αριστοτέλης;

'Α. Περὶ διαφορῶν.

'Ε. Τί λέγων; 18r

'Α. Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραὶ οἷον ζῴου καὶ ἐπιστήμης· ζῴου μὲν γὰρ διαφοραὶ οἷον τὸ πεζὸν καὶ τὸ δίπουν καὶ τὸ πτηνόν, ἐπιστήμης δὲ οὐδεμία τούτων· οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ δίπους εἶναι. τῶν δέ γε ὑπαλλήλων γενῶν οὐδὲν κωλύει τὰς αὐτὰς διαφορὰς εἶναι· τὰ γὰρ ἐπάνω τῶν ὑποκάτω κατηγορεῖται, ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται.

'Ε. 'Αλλ' ὁρᾷς ὅτι ἐν οἷς εἴρηκας πλείω ἐστὶν τὰ λεγόμενα;

'Α. 'Ορῶ· εἴρηται γὰρ περὶ γενῶν, ὧν τὰ μὲν ἕτερα ἔφη εἶναι, τὰ δὲ

7 τί ἐστι inserui: II vel III litterae foro exhaustae M: om. p 10. 11 ὁ λόγος Zp: oblitter. M 11—12 τὸ δὲ εἶδος ἐφαρμόζει Zp: oblitter. M 17 παραστατικὸν post μᾶλλον transp. p συμβεβηκότος δὲ scripsi: συμβέβηκε δὲ Mp 18 τοῦ κυρίως M: τοῦ κυρίου p δὲ] an γὰρ? 20 ᾗ Zp: ἢ M 21 an κατὰ ⟨τοὔνομα μόνον ἐφαρμόζοντα⟩? 28 οἷον om. Aristot. τό τε πεζὸν Aristot. post πτηνὸν add. καὶ τὸ ἔνυδρον Aristot., quod fort. restituas (cf. p. 82,8) 29 τῷ Cp: τὸ M δίπους M: δίπουν p 30 τῶν δέ γε ὑπ— Zp: oblitter. M ὑπ' ἄλληλα Aristot. (cf. p. 84,8. 22. 30) 31 τῶν ὑποκάτω] τῶν ὑπ' αὐτὰ γενῶν Aristot. κατηγορεῖται AD: κατηγοροῦνται Cp: oblitter. M 32 post διαφοραί add. εἰσι Aristot. 34 ὅτι post εἴρηκας transpos. p ἐστὶν M: εἰσὶ p

ὑπάλληλα. εἴρηται δὲ καὶ ἕτερα τῷ εἴδει. εἴρηνται δὲ καὶ αἱ διαφοραί, καὶ τούτων αἱ μὲν ἕτεραι τῷ εἴδει, αἱ δὲ αἱ αὐταί.

'Ε. Περὶ πάντων οὖν εἰπὼν τούτων τί βούλεται διὰ τοῦ προκειμένου διδάξαι, παράστησον.

'Α. Φημὶ τοίνυν ὅτι πολλαχῶς μὲν λέγεται καὶ τὸ εἶδος καὶ τὸ γένος καὶ ἡ διαφορά. τὸ δὲ νῦν λαμβανόμενον γένος ἐστὶν ἐκεῖνο, ὃ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορεῖται, οἷον τὸ ζῷον γένος ἂν εἴη πτηνοῦ καὶ πεζοῦ καὶ ἐνύδρου, ὧν ἐν τῷ εἴδει διαφερόντων ἀλλήλων ἐν τῷ τί ἐστιν ἕκαστον ἐρωτηθὲν κατηγορεῖται· τί γάρ ἐστιν ἕκαστον ἀποδιδόντες ζῷον ἐροῦμεν. λαμβάνεται δὲ εἶδος τὸ κατὰ πλειόνων τῷ ἀριθμῷ διαφερόντων ἐν τῷ τί ἐστι κατηγορούμενον· ὁ γὰρ ἄνθρωπος εἶδος ὢν κατὰ πλειόνων τινῶν ἀνθρώπων ἀριθμῷ μόνον διαφερόντων ἐν τῷ τί ἐστιν ἕκαστος κατὰ μέρος ἐρωτηθέντων κατηγορεῖται· τί γάρ ἐστιν ὁ Σωκράτης ἐὰν ζητῶμεν, οἰκείως ἀποδιδοῖμεν ὅτι ἄνθρωπος. ἐπεὶ δὲ τὰ πολλὰ εἴδη πολλάκις τὰ αὐτὰ ὄντα κατὰ γένος διαφοραῖς χωρίζεται, ὥσπερ ὁ ἄνθρωπος καὶ ὁ βοῦς καὶ ὁ κύων τὰ αὐτὰ ὄντα κατὰ γένος (ζῷα γὰρ πάντα) διαφοραῖς ἀλλήλων χωρίζεται, ἡ δὲ διαφορὰ ποιόν τι ἕκαστον τῶν 18v εἰδῶν ἐστιν παρίστησιν (ὅτι γὰρ ὁ ἄνθρωπος ζῷόν ἐστι λογικὸν θνητὸν καὶ ὁ κύων ζῷον ἄλογον ὑλακτικόν, αἱ διαφοραὶ παριστᾶσιν), εἴη ἂν ἡ διαφορὰ τὸ κατὰ πλειόνων διαφερόντων ἀλλήλων ἐν τῷ ποιόν τί ἐστι κατηγορούμενον. οἷον τὸ πτηνὸν διαφορά ἐστι κατὰ πλειόνων κατηγορούμενον· κατὰ γὰρ κύκνου καὶ κόρακος καὶ ἀετοῦ λέγεται.

'Ε. 'Αλλ' ἑκάστου ζῴου ὄντος τὸ πτηνὸν εἶναι ἕκαστον ποιόν τι ζῷον δηλοῖ; τῆς γὰρ τοῦ γένους ποιότητος καὶ τοῦ εἴδους δηλωτικὴ ἡ διαφορά.

'Α. Οὐδαμῶς. ἀλλὰ δέκα οὐσῶν τῶν ἀνωτάτω καθ' ἑκάστην ἀλλοῖα τὰ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραί· ἧς γὰρ ἂν κατηγορίας ὑπάρχῃ τὸ γένος, ἐκείνης ἔσται καὶ τὸ τοῦ γένους οἰκεῖον εἶδος καὶ αἱ τοῦ γένους καὶ εἴδους διαφοραί.

'Ε. 'Αλλ' ἐπεὶ ἀπέδωκας κατὰ πλειόνων εἰδῶν λέγεσθαι τὴν διαφοράν, ἆρά γε καθάπερ ἔστι τοῦτο εἴρηκας;

'Α. Οὐδαμῶς, ἀλλ' ὡς ἐπὶ τὸ πολύ· εἰσὶ γάρ τινες ἰσάριθμοι τοῖς εἴδεσιν, ὥσπερ κουφότης καὶ βαρύτης, ἡ μὲν μόνου πυρὸς οὖσα, ἡ δὲ γῆς.

'Ε. Ἆρα οὖν καὶ τὸ εἶδος ἀποδοθὲν κατὰ πλειόνων ἀριθμητῶν οὕτως ἔχει ἐκ παντός;

'Α. Οὐδαμῶς, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον· ὁ γὰρ φοίνιξ τὸ ὄρνεον εἶδος ὢν οὐ κατὰ πλειόνων ἀριθμῷ λέγεται εἶναι, εἴ γε εἷς μόνος φοίνιξ ἀεὶ γίνεται, ἀλλ' εἰ ἄρα κατὰ πλειόνων, οὐ τῷ ἀριθμῷ ἀλλὰ τῇ διαδοχῇ λέγεται.

1 εἴρηνται scripsi: εἴρηται Mp 8 ἐν M: om. p (recte) 9 ἐρωτηθὲν] corrigas ἐρωτηθέντων (cf. v. 13) 10 ante εἶδος add. τὸ p: om. M 11 κατηγορουμένων p 13 ἕκαστος p: ἑκάστω M 14 ἀποδιδοίημεν p: fort. ἂν ἀποδιδοῖμεν conicias, sed cf. p. 85,23 93,3 93,24 alias. 16. 17 ζῷα γὰρ πάντα Zp: oblitter. M 17 δὲ Zp: om. M 19 παριστᾶσιν Cp: παρίστησιν M ante ἡ διαφορὰ add. καὶ p: om. M 25 post ἀνωτάτω adde κατηγοριῶν 26 τά τε γένη p ὑπάρχῃ Zp: ὑπάρχει M 27 ἐκείνης Zp: ἐκείνη M 30 an τοῦτ' ⟨ἀεί⟩, εἴρηκας? 32 μόνου M: μόνον p

'Ε. 'Αλλὰ τί μὲν τὸ γένος τὸ λαμβανόμενον ἐνταῦθα καὶ τί τὸ εἶδος καὶ τίς ἡ διαφορά, παρέστησας. ἐπίδειξον δὲ καὶ τίνα μὲν ἕτερα γένη, τίνα δὲ ὑπάλληλα.

'Α. Ἕτερα γένη τὰ ἐν ταῖς δέκα κατηγορίαις· ἄλλα μὲν γὰρ τὰ γένη τῆς οὐσίας, ἄλλα δὲ τὰ γένη τὰ τῆς ποιότητος καὶ ἄλλα τὰ τοῦ ποσοῦ καὶ τῶν ἄλλων. ὡσαύτως δὲ καὶ τὰ εἴδη τὰ ὑφ' ἕκαστον γένος ἄλλα τῶν ὑπ' ἄλλο γένος, τῶν οὕτως ἑτερογενῶν, καὶ αἱ διαφοραὶ ὡσαύτως. ἄλλαι γὰρ τοῦ ζῴου γένους ὄντος καὶ τῆς ἐπιστήμης ἄλλαι (τὸ μὲν γὰρ ζῷον τῆς οὐσίας ἐστίν, ἡ δὲ ἐπιστήμη τῆς ποιότητος), καὶ ἄλλα μὲν τὰ εἴδη 19r τοῦ ζῴου, ἄλλα δὲ τῆς ἐπιστήμης, καὶ ἄλλαι μὲν αἱ διαφοραὶ τοῦ ζῴου. ἄλλαι δὲ αἱ διαφοραὶ τῆς ἐπιστήμης· ζῷον μὲν γὰρ ζῴου διαφέρει τῷ τὸ μὲν εἶναι δίπουν, τὸ δὲ τετράπουν, ἐπιστήμη δὲ ἐπιστήμης τῷ δίπους εἶναι οὐ διαφέρει. ταῦτα μὲν οὖν ἕτερα γένη καὶ εἴδη ἕτερα καὶ αἱ διαφοραὶ ἕτεραι. ὑπάλληλα δὲ γένη ἐστίν, ὧν τὸ ἕτερον γένος ὑπὸ τὸ ἕτερόν ἐστιν ἐν ταὐτῷ γένει τῆς κατηγορίας, ὡς ὑπὸ τὸ ζῷον τὸ πτηνὸν ζῷον, τοῦτ' ἔστι τὸ ὄρνεον, ὅπερ τῆς κατὰ τὴν οὐσίαν ἐστὶ κατηγορίας.

'Ε. Λέγε ἔτι σαφέστερον.

'Α. Φημὶ τῶν καθόλου λεγομένων τὰ μέν ἐστιν γένη, τὰ δὲ εἴδη, τὰ δὲ διαφοραί. τῶν δὲ εἰδῶν καὶ γενῶν τὰ μέν ἐστιν μόνον εἴδη, ἃ διαιρεῖται εἰς τὰ καθ' ἕκαστα, τὰ δὲ ἦν μόνον γένη· ταῦτα δὲ ἦν ὧν οὐκέτι ἀνωτέρω εὑρίσκεται γένος. ὅσα δὲ τούτων μεταξύ, ταῦτα εἴδη μὲν ὄντα τῶν ἐπαναβεβηκότων, γένη δὲ τῶν ὑποκαταβεβηκότων εἰκότως ἂν εἴη ὑπάλληλα τὰ γένη.

'Ε. Ἐπὶ παραδειγμάτων σαφῆ ποίησον ταῦτα.

'Α. Ἡ οὐσία φέρε γένος ἐστὶ τὸ ἀνώτατον μόνον τῶν οὐσιῶν· πρὸ αὐτῆς γὰρ οὐκ ἂν εὑρεθείη ἄλλο γένος τῆς οὐσίας προταττόμενον. ὁ δὲ ἄνθρωπος εἶδός ἐστιν μόνον· μετὰ γὰρ αὐτὸ τὰ ἄτομά ἐστι καὶ οἱ τινὲς ἄνθρωποι. τὰ δὲ μετὰ τὴν οὐσίαν ἄχρι τοῦ ἀνθρώπου, ὃς ἦν μόνον εἶδος, ὅσα μεταξὺ εὑρίσκεται, ταῦτα εἴδη μέν ἐστι τῶν πρὸ αὐτῶν, γένη δὲ τῶν μετὰ ταῦτα· ὥσπερ τὸ ζῷον εἶδος μέν ἐστι τῆς οὐσίας, γένος δὲ τοῦ λογικοῦ ζῴου, τὸ δὲ λογικὸν ζῷον γένος μὲν τοῦ ἀνθρώπου, εἶδος δὲ τοῦ ζῴου. τὰ δὴ ταῦτα ὅσα μεταξὺ ὄντα τοῦ γενικωτάτου καὶ τοῦ εἰδικωτάτου πρὸς ἄλλο καὶ ἄλλο λαμβανόμενα καὶ γένη ἐστὶ καὶ εἴδη, ταῦτα ὑπάλληλα καλεῖται γένη.

'Ε. Ἆρα οὖν ὑπάλληλα ὄντα ἔστιν ὅτι φέρεται ἑκάτερον ὑφ' ἑκάτερον;

'Α. Οὐδαμῶς· ἀδύνατον γάρ, εἴπερ τὸ λογικὸν ζῷον θνητὸν οἷον ὁ ἄνθρωπος ὑπὸ τὸ ζῷον, καὶ τὸ ζῷον εἶναι ὑπὸ τὸν ἄνθρωπον. οὐ διὰ τοῦτο οὖν λέγεται ὑπάλληλα, ἐπεὶ τὸ αὐτὸ τοῦ αὐτοῦ καὶ εἶδος ἔσται

5 malim τὰ τῆς οὐσίας 7. 8 ἄλλαι] corrigas ἄλλου utrobique 12 τῷ p: τὸ M δίπους M: δίπουν p 13 ἕτερα (post εἴδη) M: om. p 16 κατηγορίας M: κατηγορία p 22 γένη δὲ τῶν ὑπο— Zp: oblitter. M 23 τὰ eicias 27 οἱ τινὲς M²: οἵτινες M¹p 29. 30 an μετ' αὐτά? (sed cf. p. 88,5) 32 τοῦ (alterum) M: om. p ἰδικωτάτου M 33 ἐστὶ post εἴδη transp. p 38 ἐπεὶ οὕτω γε Simpl. (f. 14r 24) τοῦ αὐτοῦ M: om. p

καὶ γένος, ἀλλ' ὅτι θάτερον ὑπὸ θάτερον ὂν * * * καὶ ἀμφοτέρων γενῶν [19v] ὄντων μηδέτερον ὑπὸ μηδέτερον ᾖ, ταῦτα οὐκ ἂν εἴη ὑπάλληλα, ὥσπερ γενῶν ὄντων τοῦ ζῴου καὶ τῆς ἐπιστήμης οὔτε ἡ ἐπιστήμη ὑπὸ τὸ ζῷον οὔτε τὸ ζῷον ὑπὸ τὴν ἐπιστήμην. τῶν ⟨οὖν⟩ ἑτερογενῶν (ἔστι δὲ ἕτερα τὰ ἀπ' ἀλλήλων πάντῃ διεστῶτα, οἷον τὰ δέκα γένη τῶν δέκα κατηγοριῶν, ὧν δέκα διάφοροί εἰσιν παραστατικαὶ κατηγορίαι καὶ ὧν ἀνωτάτω καὶ οὐκέτι ὑπ' ἄλλο τεταγμένα ἐστὶ δέκα γένη) τούτων ἕτεραί εἰσιν καὶ αἱ διαφοραί, τῶν δὲ ὑπ' ἄλληλα γενῶν ἐνδέχεται τὰς αὐτὰς εἶναι διαφοράς· οὐ γὰρ δὴ πάντων αἱ αὐταί, ἀλλ' ἔστιν ἐφ' ὧν αἱ αὐταί, ἐφ' ὧν δὲ οὔ.

'Ε. Πῶς ἐπὶ τινῶν μὲν αἱ αὐταί, ἐπὶ τινῶν δὲ οὔ, ἐπίδειξον.

'Α. Τὸ ζῷον καὶ τὸ ὄρνεον ὑπάλληλά ἐστι γένη (ὑπὸ γὰρ τὸ ζῷον τὸ ὄρνεον), ἀλλὰ ζῴου μὲν αἱ διαφοραὶ τὸ λογικὸν καὶ τὸ ἄλογον, ὀρνέου δὲ οὐκ ἂν εἶεν αἱ αὐταὶ διαφοραί. εἶεν δ' ἄν τινες ζῴου διαφοραί, αἵπερ καὶ ὀρνέου· τῶν τε γὰρ ζῴων τὰ μέν ἐστι ποηφάγα, τὰ δὲ σπερμοφάγα, τὰ δὲ κρεηφάγα, ἀλλὰ καὶ τῶν ὀρνέων αἱ αὐταὶ διαφοραί.

'Ε. Διὰ τί οὖν τοῦτο συμβαίνει;

'Α. Ὅτι τὸ ζῷον περιέχει μὲν τὸ ὄρνεον ἐν τοῖς ἑαυτοῦ εἴδεσιν, τὴν δὲ ἐπιστήμην οὐ περιέχει, οὐδὲ ἔστιν αὐτοῦ εἶδος ἡ ἐπιστήμη. τοῦ δὲ περιέχοντος γένοιντο ἂν καὶ τοῦ περιεχομένου διαφοραὶ αἱ αὐταί, τοῦ δὲ μήτε περιέχοντος μήτε περιεχομένου οὐκ ἂν εἶέν ποτε αἱ αὐταὶ διαφοραί.

'Ε. Πῶς οὖν τοῦτο δεδήλωκεν ὁ 'Αριστοτέλης;

'Α. Ἐν τῷ φάναι τῶν δὲ ὑπ' ἄλληλα γενῶν οὐδὲν κωλύει τὰς αὐτὰς διαφορὰς εἶναι. αἰτίαν δὲ ἐπάγει· τὰ γὰρ ἐπάνω τῶν ὑπ' αὐτὰ γενῶν κατηγορεῖται, ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσιν, καὶ τοῦ ὑποκειμένου ἔσονται.

'Ε. 'Αλλὰ σὺ τινὰς μὲν διαφορὰς τοῦ ζῴου τὰς αὐτὰς ἀπέδειξας οὔσας τοῦ ὀρνέου, ὁ δὲ καθάπερ εἴρηκεν ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, καὶ τοῦ ὑποκειμένου ἔσονται· οὐ γὰρ ὅσαι τοῦ ζῴου [20r] διαφοραί, τοσαῦται καὶ τοῦ ὀρνέου. καίτοι πρὸ ὀλίγου ἔφασκεν οὐδὲν κωλύει τὰς τῶν ὑπαλλήλων γενῶν διαφορὰς καὶ τῶν ὑποκάτω εἶναι, ὡς μὴ πασῶν δυναμένων τῶν ὑποκάτω εἶναι, νῦν δὲ ἁπλῶς ἔφη ὅσαι τοῦ κατηγορουμένου, τοσαῦται καὶ τοῦ ὑποκειμένου διαφοραὶ ἔσονται.

'Α. 'Αλλ' οἶμαι μὲν διὰ τοῦτο πολλοὺς ἡμαρτῆσθαι νομίσαι τὸν τόπον

---

1 post ὄν defectum significavi, suppleris εἶδος καὶ γένος ἐστίν. ὅταν δὲ (cf. Simpl.) 2 μηδέτερον (alterum)] τὸ ἕτερον Simpl. 4 τῶν οὖν ex Simpl. correxi: τῶν Zp: oblitter. M; post τῶν lacuna III litt. A: V litt. D, quamquam spatium in M plus tribus litteris non admittere videtur 4. 5 ἀπαλλήλων M: ἀπάλληλα p 6. 7 εἰσιν Zp: ἐστὶν M (utrobique) 14 τε M: δὲ p 15 κρεηφάγα M: κρεοφάγα p (fort. recte) 17 ἐν M: om. p 19 γένοιντο Cp: γένοιτο M 22 δέ γε Aristot. 25. 28 τοσαῦται καὶ Aristot. 26 τίνας p post οὔσας inseras καὶ 27 ὁ δὲ M: ὧδε p: ante ὁ δὲ vicem signif. M²p an ὁ δὲ ⟨πάσας⟩ cf. p. 85,4 28—29 οὐ γὰρ—ὀρνέου ante ὁ δὲ (v. 27) transponenda sunt 29 διαφοραὶ τοσαῦ— Zp: oblitter. M 34 'Αλλ' οἶμαι sq. prioribus contin. M²p

καὶ διορθοῦντας φῆσαι μὴ ὅσαι τοῦ κατηγορουμένου διαφοραί, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται, ἀλλ' ἔμπαλιν ὅσαι τοῦ ὑποκειμένου, τοσαῦται καὶ τοῦ κατηγορουμένου ἔσονται. ἐγὼ δέ φημι ἐξ αὐτοῦ τούτου † τοῦ ἐκ τοῦ ἐνίας φάναι καὶ πάλιν πάσας τὴν λύσιν τῆς ἀπορίας λαμβάνεσθαι. εἰ γὰρ οὐ πᾶσαι αἱ τοῦ κατηγορουμένου διαφοραὶ καὶ τοῦ ὑποκειμένου εἶναι εὑρέθησαν, ἀλλὰ τινές, πάλιν δὲ πᾶσαι λέγονται τοῦ κατηγορουμένου εἶναι καὶ τοῦ ὑποκειμένου, δεῖ ἐλθεῖν ἡμᾶς ἐπὶ τὰς διαφορὰς κἂν μὲν ἐν αὐταῖς εἶδος ᾖ, ἰδεῖν, ἐπὶ ποίου εἴδους αἱ διαφοραὶ πᾶσαι δύνανται τοῦ ὑποκειμένου κατηγορεῖσθαι.

'Ε. Δεῖξον οὖν τί λέγεις σαφῶς.

'Α. Φημί τοίνυν ὅτι τῶν διαφορῶν αἱ μὲν λέγονται εἶναι εἰδοποιοί, καθ' ἃς εἰδοποιεῖται τὸ κατηγορούμενον καὶ οἷον πεποίωται, αἱ δέ εἰσι διαιρετικαί, καθ' ἃς διαιρεῖται εἰς εἴδη τὸ γένος τὰ ὑπ' αὐτό. οἷον τὸ ἔμψυχον, τὸ αἰσθητικὸν διαφοραὶ δήπου ἐστίν, ἀλλ' αὗται προσγενόμεναι τῇ οὐσίᾳ εἰδοποίησαν αὐτὴν καὶ οἱονεὶ ἐποίωσαν πρὸς τὸ γενέσθαι ζῷον. εἰδοπεποίηται τοίνυν καὶ πεποίωται τὸ ζῷον τῇ τοῦ ἐμψύχου διαφορᾷ καὶ τῇ τοῦ αἰσθητικοῦ, αἷς διαμορφωθεῖσα ἡ οὐσία γέγονεν ζῷον. διὸ καὶ λέγομεν εἶναι τὸ ζῷον οὐσίαν ἔμψυχον αἰσθητικήν. καὶ εἰσὶν αὗται αἱ διαφοραὶ αἱ γεννητικαὶ καὶ ἀποτελεστικαὶ τοῦ ζῴου καὶ ἐπάνω γε αὐτοῦ. διὸ καὶ κατηγοροῦνται αὐτοῦ· εἴποις γὰρ ἂν τὸ ζῷον ἔμψυχον καὶ πάλιν αἰσθητικόν. εἰσὶν δὲ ἄλλαι διαφοραί, αἳ οὐκέτι εἰδοποιοῦσι τὸ ζῷον, ἀλλὰ τέμνουσιν αὐτὸ εἰς εἴδη, καὶ εἰσὶ πᾶσαι ὑποκάτω αὐτοῦ καὶ ὑπ' αὐτό. 20v διὸ οὐδὲ ἑκάστην δυνηθείη τις τοῦ ζῴου κατηγορῆσαι οἷον τὸ λογικόν, τὸ ἄλογον, τὸ θνητόν, τὸ ἀθάνατον, τὸ πτηνόν, τὸ χερσαῖον, τὸ ἔνυδρον, τὸ δίπουν, τὸ τετράπουν, τὸ ἑρπυστικόν, τὸ πτερωτόν, τὸ ἄπτερον· πολλαὶ γὰρ ὑπὸ τὸ ζῷον διαφοραί, αἷς τέμνεται μὲν αὐτό, εἰδοποιεῖται δὲ τὰ ὑπ' αὐτὸ εἴδη τῶν ζῴων, οὐ μὴν ἔτι καὶ αὐτὸ ταύταις εἰδοποιεῖται, αἷς δὴ καὶ τέμνεται, ἀλλὰ ταῖς προτέραις.

'Ε. Εἰ τοίνυν οὐ πάσαις μὲν ταῖς διαφοραῖς τῶν κατηγορουμένων δύναται τὰ ὑποκείμενα χρῆσθαι, τισὶ δέ, καὶ ταῖς γε τισὶ ταύταις πάσαις δύναται λέγεσθαι τὰ ὑποκείμενα;

'Α. Φημὶ ὅτι οὐ πάσας μὲν τὰς τοῦ ζῴου διαφοράς ἐστι κατηγορεῖν τοῦ ὑποκειμένου οἷον τοῦ ἀνθρώπου, πάσας δὲ τὰς εἰδοποιούς ἐστι κατηγορεῖν. ἦσαν δὲ τοῦ ζῴου εἰδοποιοὶ αἱ ἐπάνω, τὸ ἔμψυχον, τὸ αἰσθητικόν. ταύτας δὲ οἷόν τε κατὰ ἀνθρώπου κατηγορῆσαι· αἰσθητικὸν γὰρ καὶ ἔμψυχον ὁ ἄνθρωπος. ὀρθῶς ἄρα εἴρηται, ὅτι πάντα τὰ κατηγορούμενα τῶν ἐπάνω καὶ τῶν ὑποκάτω κατηγορήσομεν· τὰς μὲν γὰρ διαιρετικὰς διαφορὰς οὐχ οἷόν τε κατηγορεῖν τοῦ ζῴου, τὰς δὲ εἰδοποιοὺς οἷόν τε· εἰσὶν γὰρ ἐπάνω. ὥσθ' ὅσα οἷόν τε κατηγορῆσαι τοῦ κατηγορουμένου, οἷόν τε δὲ τὰς ἐπάνω

4 τοῦ (post τούτου) M: om. p, recte, nisi malis, τοῦτ' ἔστι   ἐνίας M: ἐνίους p
11 εἶναι M: om. p   13 τὰ scripsi: τὸ Mp   14 ἐστίν Mp: fortasse εἰσίν   προσγενόμεναι scripsi: προγενόμεναι Mp   15 ἐποίωσαν scripsi: ἐποίησαν Mp   19 γεννητικαὶ M   22 ἑκάστην scripsi: ἑκάστη Mp   30 χρεῖσθαι M   38 ποιοὺς οἷόν τε Zp: oblitter. M

καὶ εἰδοποιοὺς διαφοράς, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου κατηγορῆσαι, ὅσα δὲ οὐχ οἷόν τε κατηγορεῖν, ταῦτα οὐ κατηγορήσομεν. εἰσὶ μέντοι τινὲς τῶν ὑποκάτω καὶ διαιρετικῶν τοῦ ζῴου διαφοραί, ἃς οἷόν τε καὶ τῷ ὑποκειμένῳ ποιεῖσθαι διαιρετικάς, ὡς ἀπεδείξαμεν.

Ἐ. Μετὰ δὲ τὸ ταῦτα διδάξαι ἐπὶ τίνα μεταβαίνει διαίρεσιν;

Ἀ. Τὴν εἰς μεῖζον ἀναλαβὼν ποιήσεται· ἦν δὲ ἡ εἰς μεῖζον ἡ εἰς δέκα.

Ἐ. Ἆρα οὖν διαίρεσίς ἐστιν;

Ἀ. Οὐδαμῶς.

Ἐ. Διὰ τί;

Ἀ. Διαίρεσις μὲν γάρ ἐστι τομὴ τοῦ γένους εἰς εἴδη. ἐνταῦθα δὲ οὐ γένος ἓν διαιρήσεται εἰς εἴδη δέκα, ἀλλὰ δέκα γένη ἐκθήσεται. καταρίθμησις οὖν ἐστιν, ἣν ποιήσεται τῶν πρώτων γενῶν καὶ τῶν κατὰ τὰ πρῶτα γένη δέκα κατηγοριῶν.

Ἐ. Τί οὖν φησιν; 21r

Ἀ. Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποῦ ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. καὶ λαμβάνει τούτων ἑκάστου δηλωτικὰ παραδείγματα, οἷον οὐσίας μὲν ὡς τύπῳ εἰπεῖν ἄνθρωπος, ἵππος καὶ τῶν ἄλλων τὸ πρόσφορον εἰς παράστασιν παράδειγμα.

Ἐ. Ἆρα οὖν πάντες συγχωροῦσι τὴν εἰς τὰ αὐτὰ γένη καταρίθμησιν τῶν σημαντικῶν λέξεων πρώτως καὶ προηγουμένως τῶν πραγμάτων;

Ἀ. Οὐδαμῶς· Ἀθηνόδωρος γὰρ ἠτήσατο ὁ Στωϊκὸς βιβλία γράψας Πρὸς τὰς Ἀριστοτέλους κατηγορίας Κορνοῦτός τε ἐν ταῖς Ῥητορικαῖς τέχναις καὶ ἐν τῇ πρὸς Ἀθηνόδωρον ἀντιγραφῇ καὶ ἄλλοι πλεῖστοι.

Ἐ. Ἆρα οὖν ὀρθῶς ἀντιλέγουσιν;

Ἀ. Οὐδαμῶς.

Ἐ. Πόθεν τοῦτο δῆλον;

Ἀ. Ὅτι πρὸς πάντα σχεδὸν ἀντεῖπεν αὐτοῖς ἀντιγράψας καὶ ἐπιδείξας, ὅπως σφάλλονται.

Ἐ. Τίς δὲ ὁ τρόπος τῆς ἀντιλογίας;

Ἀ. Τριττός· οἱ μὲν γὰρ ὅτι πλεονάζει ἡ καταρίθμησις, οἱ δὲ ὅτι ἐλλείπει, οἱ δὲ ὅτι τινὰ ἄλλα ἀντὶ ἄλλων παρείληφε γένη.

Ἐ. Διὰ τί τοίνυν τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἔφη τὰ μὲν οὐσίαν σημαίνει τὰ δὲ ποσὸν καὶ τὰ ἑξῆς;

Ἀ. Ὅτι οὐ πρόκειται περὶ τῶν ὄντων εἰπεῖν ὅσα ἐστὶ καὶ πόσα τούτων γένη, ἀλλὰ περὶ λέξεων σημαντικῶν προηγουμένως τῶν ὄντων πόσα τούτων γένη. † τῶν οὐ λεγομένων. καταλέγονται δὲ αἱ λέξεις.

---

1 ταῦτα p: ταύτας M   4 διαιρετικάς, ὡς scripsi: διαιρῶσα (sic) M: διαιρούσας p   12 τὰ M: om. p   17 ἢ ποιεῖν M: om. p   22 γὰρ ἠτήσατο ὁ Zp: oblitter. M; corrigas γὰρ ᾐτιάσατο ὁ (cf. p. 91,13 Simpl. f. 15v32)   στοικὸς M   23 Πρὸς τὰς Ἀ. κ.] cf. Simpl. l. c.   24 ἀντιγραφῇ M: αὐτῇ γραφῇ p   28 αὐτοῖς] immo αὐτὸς (cf. Simpl. f. 16r34)   29 σφάλονται M   32 post γένη intercidisse videntur, quibus adversarii refutabantur cf. Simpl. f. 15v32sq.   35 περὶ M: om. p   37 conicio τῶν οὖν ⟨ἄνευ συμπλοκῆς⟩ λεγομένων καταλέγονται [δὲ] αἱ λέξεις

'Ε. Τίνες αἱ διαφοραί;

'Α. Τὰ μέν ἐστι κατὰ συμπλοκήν, τὰ δὲ ἄνευ συμπλοκῆς.

'Ε. Τίνα ἐστὶ τὰ κατὰ συμπλοκήν;

'Α. Τὰ ἐκ τινῶν κατηγοριῶν τελείων δυοῖν ἢ καὶ πλειόνων συγκείμενα, οἷον 'ἄνθρωπος τρέχει', 'ἄνθρωπος ἐν Λυκείῳ περιπατεῖ'.

'Ε. Ἄνευ δὲ συμπλοκῆς τίνα ἐστί;

'Α. Τὰ μὴ οὕτως ἔχοντα οἷον τὰ ὁμώνυμα πάντα, τὰ συνώνυμα, τὰ παρώνυμα.

'Ε. Τὰ δὲ τοιαῦτα οἷον λιθολογεῖ, βουκολεῖ, ψευδοδοξεῖ, κατὰ συμπλοκήν ἐστιν ἢ χωρὶς συμπλοκῆς;

'Α. Χωρὶς συμπλοκῆς.

'Ε. Διὰ τί;

'Α. Οὐδὲν γὰρ αὐτῶν ἐκ τελείων συνέστηκε κατηγοριῶν. 21v

'Ε. Πόσα οὖν γένη τῶν χωρὶς συμπλοκῆς λεγομένων;

'Α. Δέκα τὰ ῥηθέντα.

'Ε. Τίς οὖν ἕκαστος τούτων ὅρος;

'Α. Οὐκ ἔστιν αὐτῶν ὅρον ἀποδοῦναι, διότι πᾶς ὅρος ἐκ γένους, τούτων δὲ οὐκ ἔστιν γένος· ἔστιν γὰρ τὰ γενικώτατα.

'Ε. Τί οὖν ἔστιν παραδοῦναι;

'Α. Παραδείγματα καὶ τὰ ἴδια, ὡς καὶ Ἀριστοτέλης νῦν μὲν διδοὺς παραδείγματα, ὕστερον δὲ καθ' ἑκάστην κατηγορίαν ζητήσας καὶ δείξας τίνα ἑκάστης ἴδια.

'Ε. Πῶς οὖν τὰ παραδείγματα δέδωκεν;

'Α. Λέγων οὐσία μὲν οἷον ἄνθρωπος, ποιὸν δὲ οἷον λευκόν, ποσὸν δὲ οἷον τρία, πρός τι δὲ οἷον πατήρ, ποῦ δὲ ἐν Λυκείῳ, ποτὲ δὲ πέρυσιν, ποιεῖν δὲ οἷον τύπτειν, πάσχειν δὲ οἷον τύπτεσθαι, ἔχειν δὲ οἷον ὑποδεδέσθαι, κεῖσθαι δὲ οἷον ἀνακεῖσθαι.

'Ε. Ἐκ τῆς οὖν συνθέσεως τούτων τί ἀποτελεῖται;

'Α. Πρότασις.

'Ε. Διὰ τί;

'Α. Ὅτι καθ' ἑαυτὴν οὐδεμία κατηγορία πρότασίς ἐστιν, ἀλλὰ τῇ ποιᾷ συμπλοκῇ πρότασις γίνεται.

'Ε. Πῶς τοῦτο;

'Α. Πᾶσα γὰρ πρότασις ἤτοι ἀληθής ἐστιν ἢ ψευδής, ἑκάστη δὲ κατηγορία καθ' ἑαυτὴν οὔτε ἀληθὴς οὔτε ψευδὴς ἐλλιπὴς οὖσα.

'Ε. Τί οὖν; οὐκ ἂν εἴποις τὸ ζῶ ἢ περιπατῶ ἢ ὕει χωρὶς συμπλοκῆς ὄντα ἢ ἀληθῆ ἢ ψευδῆ;

'Α. Ναὶ εἴποιμι· ἀλλὰ καὶ ταῦτα δυνάμει μετὰ συμπλοκῆς ἐστιν, εἰ καὶ μὴ μετὰ φωνῆς· τὸ γὰρ ζῶ ἴσον ἐστὶ τῷ ἐγὼ ζῶ, καὶ τὸ ὕει ἴσον ἐστὶ τῷ ὁ Ζεὺς ὕει.

5 λυκίῳ M (ubique) 13 οὐδὲν M: οὐδὲ p 16 ἕκαστος] corrigas ἑκάστου 19 ἔστιν M: om. p 25. 26 an ⟨οἷον⟩ ἐν Λυκείῳ et ⟨οἷον⟩ πέρυσιν? 29 πρότασης M 36 ζῶ] ζῶον M[1] 39. 40 τῷ (ante ἐγὼ et ὁ Ζεὺς) scripsi: τὸ Mp

[Περὶ οὐσίας]

Ἐ. Ἀλλὰ † ποῖα μὲν τῆς ἑκάστης ἐστὶ τῶν κατηγοριῶν, διὰ παραδειγμάτων παρέστησας. ἔτι μὴν καὶ περὶ ἑκάστης λέγε, ἵνα ἑκάστης ἐκδιδάξῃς, διὰ τί περὶ τῆς οὐσίας πρῶτον τῶν ἄλλων ποιεῖται τὸν λόγον.

Ἀ. Ὅτι τὰ ἄλλα πάντα ἐν αὐτῇ ὄντα καὶ ταύτης δεόμενα εἰς τὸ εἶναι ὥσπερ προτέραν αὐτὴν δείκνυσιν οὖσαν φύσει, οὕτως καὶ τὸν περὶ αὐτῆς λόγον πρὸ τῶν ἄλλων ἀποφαίνει πρότερον ὄντα.

Ἐ. Τί οὖν ἐστιν ἡ οὐσία;

Ἀ. Ὅρον μὲν αὐτῆς δοῦναι οὐκ ἔστιν, ὥσπερ εἴπομεν, παραδείγματα δὲ ἤδη δεδώκαμεν. ἔννοιαν δὲ αὐτῆς τοιαύτην ἀποδίδωσιν τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι (αὕτη μὲν γὰρ ὑπόκειται τοῖς ἄλλοις γένεσιν, τὰ ἄλλα δὲ ἄνευ 22r αὐτῆς τὸ εἶναι οὐκ ἂν ἔχοι) καὶ τὸ ἴδιον ζητήσει.

Ἐ. Ποσαχῶς ἐν ἄλλοις τὴν οὐσίαν λέγει;

Ἀ. Τριχῶς· καὶ γὰρ τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὸ συναμφότερον λέγει οὐσίαν.

Ἐ. Νῦν δὲ τίνα οὐσίαν λαμβάνει εἰς τὴν διδασκαλίαν;

Ἀ. Τὴν ὡς συναμφότερον.

Ἐ. Ἆρα οὖν κἀκείνων ἐμνήσθη;

Ἀ. Ναί.

Ἐ. Πῶς;

Ἀ. Ὅτι λέγει καὶ τὰ μέρη τῆς οὐσίας εἶναι οὐσίας, μέρη δὲ τῆς συναμφοτέρου ἥ τε ὕλη καὶ τὸ εἶδος.

Ἐ. Ἐνταῦθα δὲ τίνας τῆς οὐσίας εἴρηκεν διαφοράς;

Ἀ. Ὅτι αἱ μέν εἰσιν πρῶται, αἱ δὲ δεύτεραι.

Ἐ. Τίνες πρῶται;

Ἀ. Αἱ ἄτομοι, ὁ Σωκράτης, ὁ Πλάτων.

Ἐ. Τίνες δεύτεραι;

Ἀ. Τὰ γένη καὶ τὰ εἴδη τῶν ἀτόμων οὐσιῶν, οἷον εἶδος μὲν τῶν κατὰ μέρος ἀνθρώπων ὁ ἄνθρωπος, γένος δὲ τὸ ζῷον.

Ἐ. Τίνες οὖν αἱ κυριώταται οὐσίαι καὶ μάλιστα καὶ πρῶται;

Ἀ. Αἱ ἄτομοι.

Ἐ. Πῶς οὖν ταύτας ὠνόμασεν ὁ Ἀριστοτέλης;

Ἀ. Αἳ μήτε καθ' ὑποκειμένου λέγονται μήτε ἐν ὑποκειμένῳ εἰσίν.

Ἐ. Τί γὰρ βούλεται παραστῆσαι διὰ τούτων τῶν ὀνομάτων;

Ἀ. Διὰ μὲν τοῦ μήτε ἐν ὑποκειμένῳ εἶναι παρίστησιν, ὡς ἤδη ἐλέ-

1 tit. huc transposui et inclusi: post ἐκδιδάξῃς (v. 3) exhibet M: om. p 2 corrigas ποία μὲν ⟨ἡ σημασία⟩ ἐστὶ (cf. Simpl. f. 15r30) 3 περὶ ἑκάστης] an περὶ τῆς τάξεως? ἑκάστης eicias 5 post πάντα add. τὰ p: om. M 11 ante ὑπόκειται add. οὐχ p: om. M τὰ δὲ ἄλλα colloc. p 12 ζητήσει] cf. p. 93,26 13 ἄλλοις Zp: ἄλλαις M 21 λέγει Zp: λέγῃ M τῆς (alterum) M: om. p 30 κυριώταται M: κυριώτατα p 36 ἐλέγομεν scripsi: λέγομεν Mp

γομεν, τὸ μὴ εἶναι συμβεβηκὸς τὴν οὐσίαν· τοῦτο δὲ κοινὸν πάσης οὐσίας, ἄν τε πρώτη ἄν τε δευτέρα ᾖ· τὸ δὲ μὴ καθ' ὑποκειμένου λέγεσθαι διαστέλλει τὰς πρώτας οὐσίας τῶν δευτέρων. αἱ μὲν γὰρ δεύτεραι οὐσίαι, αἵπερ εἰσὶν τὰ εἴδη καὶ τὰ γένη, καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λέγονται, αἱ δὲ πρῶται οὐσίαι αὗται οὖσαι τὰ ὑποκείμενα τοῖς πᾶσιν οὐ καθ' ὑποκειμένου λέγονται. ὥστε κοινοῦ ὄντος ταῖς † προτέραις τοῦ μὴ ἐν ὑποκειμένῳ εἶναι διαιροῦνται ἀπ' ἀλλήλων τῷ τὰς μὲν δευτέρας ἐν ὑποκειμένῳ μὴ οὔσας καθ' ὑποκειμένου λέγεσθαι, τὰς δὲ πρώτας ἐν ὑποκειμένῳ μὴ οὔσας ὁμοίως, μηδὲ καθ' ὑποκειμένου λέγεσθαι.

'Ε. Διὰ τί οὖν κυριώτατα καὶ πρώτως καὶ μάλιστα τὰς πρώτας οὐσίας λέγεσθαι οὐσίας ἔφη καὶ πρὸς τίνας ἀντιδιαστελλομένας τὰς δευτέρας;

'Α. Πρώτως μὲν γὰρ οὐσίαι αἱ ἄτομοι, ὅτι καὶ πρῶται λέγονται, αἱ 22v δὲ ἄλλαι δεύτεραι. κυριωτάτη δὲ καὶ πρώτη ἡ ἄτομος οὐσία λέγεται οὐσία, τὰ γὰρ ἄλλα πάντα τὰ μὲν καθ' ὑποκειμένων τούτων λέγεται, λέγω δὲ τὰ οἰκεῖα εἴδη καὶ γένη, τὰ δὲ ἐν ὑποκειμέναις αὐταῖς ἐστιν, λέγω δὲ τὰ ἄλλα ἐννέα συμβεβηκότα. μὴ οὐσῶν οὖν τῶν πρώτων οὐσιῶν, οὐδὲν ἂν τῶν ἄλλων ὑπάρχοι. οἷον κατὰ τοῦ ἀνθρώπου τὸ ζῷον κατηγορεῖται, οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου· εἰ γὰρ κατὰ μηδενὸς τῶν τινῶν ἀνθρώπων, οὐδὲ κατὰ τοῦ ἀνθρώπου ὅλως τὸ ζῷον. πάλιν τὸ χρῶμα εἰ καὶ ἄλλο τι τῶν συμβεβηκότων ἐν σώματι ἢ καὶ ἐν οὐσίᾳ ἐστίν, ἀλλὰ καὶ ἐν τινὶ σώματι ἢ καὶ ἐν τινὶ οὐσίᾳ· εἰ γὰρ ⟨ἐν⟩ μηδενὶ τῶν καθ' ἕκαστα σωμάτων ἢ οὐσιῶν, οὐδὲ ἐν σώματι οὐδὲ ἐν οὐσίᾳ ὅλως ἔσται. ὥστε ἐπεὶ πάντα τὰ ἄλλα καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λέγεται ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστι καὶ μὴ οὐσῶν τούτων τῶν οὐσιῶν ἀδύνατον τῶν ἄλλων τι εἶναι, εἰκότως αἱ τοιαῦται οὐσίαι κυριώταται καὶ πρώτως εἰσίν οὐσίαι.

'Ε. Διὰ τί οὖν μάλιστα;

'Α. Ὅτι ἐν τοῖς δέκα τὸ ὑποκείμενόν ἐστιν ἡ οὐσία, ἐν δὲ τοῖς ὑποκειμένοις τὸ μάλιστα ὑποκείμενον καὶ μάλιστα ἂν εἴη οὐσία, ἡ δὲ ἄτομος οὐσία μᾶλλον ὑπόκειται, ὥστε ἥδε ἂν εἴη μάλιστα οὐσία. ὑπόκειται δὲ ἅπασιν τοῖς μὲν οἰκείοις εἴδεσιν καὶ τοῖς γένεσι καθ' ὑποκειμένης κατηγορουμένοις αὐτῆς, τοῖς δὲ συμβεβηκόσιν ἐν ὑποκειμένῃ αὐτῇ οὖσιν. ὥστε κυριωτάτη ἂν εἴη ἡ ἄτομος οὐσία καὶ μάλιστα καὶ πρώτως οὐσία.

'Ε. Τὰς δὲ δευτέρας οὐσίας τίνας εἴρηκεν εἶναι ὁ Ἀριστοτέλης;

Α. Τὰ εἴδη καὶ τὰ γένη.

'Ε. Ἆρα οὖν ἁπλῶς πάντα τὰ εἴδη καὶ τὰ γένη;

4 τὰ γένη καὶ τὰ εἴδη colloc. p ὑποκειμένων scripsi: ὑποκειμένου Mp 6 ταῖς προτέραις] rescribe ταῖς πρώ⟨ταις καὶ ταῖς δευ⟩τέραις τοῦ scripsi: τὸ Mp 11 ἀντιδιαστελλομένας p: ἀντιδιαστελλόμενος M 14 ὑποκειμένων p: ὑποκείμενα M 16 οὐδὲν ACD: οὐδὲ p: οὐδὲν an οὐδὲ incertum M 21 ἐν (ante μηδενὶ) inserui ἕκαστα M: ἕκαστον p 22 οὐδὲ ἐν σώματι Zp: oblitter. M 25 οὐσίαι εἰσίν colloc. p 27. 28 ἐν δὲ—ὑποκείμενον καὶ om. M (suppl. in mrg.) 28 ὑποκείμενον καὶ Zp: ὑποκειμενόν ἐστιν ἡ οὐ (sic, sed κείμενον oblitter.) mrg. M ante οὐσία superscr. ἡ M 30. 31 καθ' ὑποκειμένης κατηγορουμένοις αὐτῆς scripsi: καθ' ὑποκειμένου κ. αὐτοῖς Mp 35 πάντα M: om. p

'Α. Οὐδαμῶς.

'Ε. Ἀλλὰ ποῖα εἴδη καὶ ποῖα γένη;

'Α. Ἐν οἷς, φησίν, εἴδεσιν αἱ πρῶται οὐσίαι λεγόμεναι ὑπάρχουσι, ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη. ἐν γὰρ τοῖς εἴδεσί 23r πως τὰ ἄτομά ἐστιν, ὅτι ἐν τοῖς ἐπὶ πλέον λεγομένοις τὰ ἐπ' ἔλαττον λεγόμενα περιέχεσθαι λέγεται. ταῦτά τε οὖν τὰ εἴδη τὰ περιέχοντα τὰς ἀτόμους οὐσίας καὶ τὰ τούτων τῶν εἰδῶν γένη τὰ περιέχοντα τὰ τοιαῦτα εἴδη εἴη ἂν δεύτεραι οὐσίαι οἷον ἄνθρωπος καὶ ζῷον· ἐν γὰρ τῷ ἀνθρώπῳ ὁ τὶς ἄνθρωπος ἐν εἴδει, γένος δὲ τοῦ εἴδους τοῦ ἀνθρώπου τὸ ζῷον. δεύτεραι οὖν αὗται οὐσίαι λέγονται οἷον ὁ ἄνθρωπος καὶ τὸ ζῷον καὶ τὰ ὅμοια.

'Ε. Ἀλλὰ πῶς, εἰ διὰ τὸ ἀναιρεῖν μέν, μὴ συναναιρεῖσθαι δὲ φῂς τὰς πρώτας οὐσίας πρώτας εἶναι καὶ μάλιστα καὶ κυριώτατα, διὰ τοῦτο λέγεσθαι τὰς ἀτόμους οὐσίας εἶναι οὐσίας, ἀνθρώπου δὲ τοῦ κοινοῦ κατηγορουμένου ἀναιρεθέντος τῇ ἐπινοίᾳ καὶ ὁ Σωκράτης, ὅσπερ ἦν ἄτομος οὐσία καὶ πρώτη, ἀναιρεῖται, οὐκ ἂν εἴη τὸ εἶδος μᾶλλον οὐσία, * * * ἐπεὶ καὶ τοῦ ζῴου ἀναιρεθέντος ὁμοίως τῷ λόγῳ καὶ ὁ ἄνθρωπος καὶ ὁ Σωκράτης οὐκέτι εἰσίν; ὥστε διὰ τί οὐ πρότερον Σωκράτους ὁ ἄνθρωπος, εἴ γε ἀναιρούμενος συναναιρεῖ, ἀναιρουμένου δὲ οὐ συναναιρεῖται· Σωκράτους γὰρ μὴ ὄντος ἔστιν ὁ ἄνθρωπος, ἀνθρώπου δὲ μὴ ὄντος οὐκ ἔστιν Σωκράτης. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ζῴου· ζῴου μὲν γὰρ ὄντος δύναται εἶναι Σωκράτης, ζῴου δὲ πάντως ἀναιρεθέντος οὐδ' ἂν εἴη Σωκράτης. οὐκοῦν τί ἐκ τούτου συνάγεται; εἰ γὰρ πρῶτά ἐστι ταῦτα, ἃ συναναιρεῖ μέν, οὐ συναναιρεῖται δέ, τὸ δὲ ζῷον καὶ ὁ ἄνθρωπος συναναιρεῖ μὲν τὸν Σωκράτην, οὐ συναναιρεῖται δὲ σὺν τῷ Σωκράτει, οὐχ ὁ Σωκράτης ἂν εἴη οὐσία πρώτη ἀλλὰ τὰ γένη καὶ τὰ εἴδη. τί οὖν πρὸς τὴν τοιαύτην ἀπορίαν εἴποις ἄν;

'Α. Φημὶ ὅτι οὐ κατὰ λόγον τὸ εἰρημένον προήγαγες.

'Ε. Τί δήποτε;

'Α. Ὅτι περὶ Σωκράτους μόνον πεποίησαι τὸν λόγον, οὗ ἀναιρεθέντος ὁ ἄνθρωπος καὶ τὸ ζῷον μένει, δεῖ δὲ οὐκ ἐφ' ἑνὸς ποιεῖσθαι τὸν 23v λόγον, ἀλλ' εὖ εἰδέναι, ὅτι οὐκ ἔστιν ἄτομος οὐσία ὁ εἷς τῶν κατὰ μέρος ἀλλ' οἱ καθ' ἕκαστον ἄνθρωποι πάντες, ἐξ ὧν καὶ ὁ κοινῇ κατηγορούμενος ἄνθρωπος ἐπενοήθη, καὶ τὰ καθ' ἕκαστον ζῷα, δι' ἃ τὸ κοινῇ κατηγορούμενον ἐνοήσαμεν ζῷον. ἃ δὴ καὶ αἴτια τοῖς κοινῇ κατηγορουμένοις ἐστὶ

---

3 πρῶται M: πρώτως p 4. 5 πως scripsi et ἐν γὰρ — ἐστιν discipulo attribui: πῶς (ante ἐν γὰρ et ὅτι distinct.) Mp 5 ἐστιν Zp: oblitter. M 9 ὁ τὶς scripsi: ὅτι Mp ἐν εἴδει Zp: oblitter. M 10 ὁ supra scr. M 12 ἀναιρεῖν] ἀν supra scr. M; corrigas συναναιρεῖν συναιρεῖσθαι p 13 an ⟨καὶ⟩ διὰ τοῦτο? 14 οὐσίας (alterum) M: om. p: conicias οὐσίας ⟨πρώτας⟩ an κοινῇ? (cf. v. 32) 15 ὅσπερ scripsi: ὥσπερ Mp 16 post οὐσία defectus est, quem hoc fere modo suppleveris τῆς ἀτόμου καὶ τὸ γένος μᾶλλον οὐσία τοῦ τε εἴδους καὶ τῆς ἀτόμου οὐσίας 18 ante ὥστε distinx. M[2]p σωκράτους M[2]p: σωκράτης M[1] 19 an ἀναιρουμένῳ? 20 ὁ M: om. p 24 δὲ (ante ζῷον) M: om. p 32 ἄνθρωποι πάντες Zp: oblitter. M 33 δι' ἃ scripsi: *ex quibus* Felic.: διὰ Mp

τοῦ εἶναι· παρὰ γὰρ τὰ καθ' ἕκαστον οὔτε βοῦν οὔτε ἄνθρωπον οὔτε ἵππον οὔτε ὅλως ἔστι νοῆσαι ζῷον. εἰ δὲ ἀπὸ τῆς τῶν καθ' ἕκαστον αἰσθήσεως ἐπὶ τὸ κοινῇ τῇ διανοίᾳ ἀφικνούμεθα, ὅπερ οὐκέτι τόδε τι νοοῦμεν ἀλλὰ τοιόνδε, εἰ τὰ καθ' ἕκαστον ἀναιρεθῇ ζῷα, οὐκέτι οὐδὲ τὸ κοινῇ κατηγορούμενον κατ' αὐτῶν ἔσται. εἰσὶ δὲ καὶ αἱ σημαντικαὶ λέξεις τῶν ὄντων ἐπὶ πρότερα τὰ ἄτομα κατωνομασμέναι, εἶτα ἀπὸ τούτων ἐπὶ τὰ κοινὰ ἡ διάνοια μετῆλθεν. ἐπεὶ τοίνυν περὶ λέξεων σημαντικῶν ἡ πρόθεσις, αἱ δὲ λέξεις ἐπὶ πρῶτα τὰ αἰσθητὰ ἐπετέθησαν (τούτοις γὰρ πρώτοις κατ' αἴσθησιν ἐντυγχάνομεν), ταύτας καὶ πρώτας ἔθετο ὁ Ἀριστοτέλης εἶναι οὐσίας κατὰ τὴν πρόθεσιν, ὥσπερ πρῶται αἱ αἰσθηταὶ κατωνομάσθησαν, οὕτως ὡς πρὸς τὰς σημαντικὰς λέξεις πρώτας τιθεὶς τὰς ἀτόμους οὐσίας.

Ἐ. Ἐκ δὲ ταύτης τῆς αἰτίας ζητεῖ ὁ λόγος καί τι ἄλλο ἔγκλημα;

Ἀ. Λέγω ὅτι αἰτιῶμαι αὐτόν, ὅτι κυριώτατα κατὰ αὐτὸν καὶ μάλιστα καὶ πρώτως λεγομένων πρώτων οὐσιῶν τῶν νοητῶν οἷον τοῦ νοητοῦ θεοῦ καὶ τοῦ νοῦ καί, εἴπερ εἰσὶν ἰδέαι, καὶ τῶν ἰδεῶν, παριστὰς ταύτας πρώτας οὐσίας ἔφη τὰς ἐν τοῖς αἰσθητοῖς ἀτόμους.

Ἐ. Πῶς γὰρ λύσεις αὐτοῦ ταύτην τὴν αἰτίαν;

Ἀ. Ὅτι, φήσω, ἐπεὶ περὶ λέξεων σημαντικῶν ἡ πρόθεσις, αἱ δὲ λέξεις πρώτως ἐπὶ τὰ αἰσθητὰ ἐτέθησαν (ἃ γὰρ εἶδον καὶ ὧν ᾔσθοντο οἱ ἄνθρωποι πρῶτον ταῦτα κατωνόμασαν, δευτέρως δὲ τὰ τῇ φύσει μὲν πρῶτα, αἰσθήσει δὲ δεύτερα). εἰκότως ἃ ταῖς λέξεσι πρῶτα κατωνομάσθη (ἔστι δὲ τὰ αἰσθητὰ καὶ τὰ ἄτομα), πρώτας οὐσίας ἔθετο. ὥστε ὡς πρὸς τὰς σημαντικὰς λέξεις πρῶται οὐσίαι αἱ ἄτομοι αἰσθηταί, ὡς δὲ πρὸς τὴν φύσιν [24r] πρῶται αἱ νοηταί. πρόκειται δὲ κατὰ τὰς σημαντικὰς λέξεις τὰ γένη τῶν ὄντων διελεῖν, αἱ δὲ σημαντικαὶ πρώτως εἰσὶν τῶν αἰσθητῶν ἀτόμων οὐσιῶν.

Ἐ. Ἀλλ' ἐπεὶ ὁμωνύμως καὶ τὸ εἶδος καὶ τὸ γένος λέγεται, ποῖα εἴδη λαμβάνει καὶ ποῖα γένη;

Ἀ. Ἃ λέγει εἶναι δευτέρας οὐσίας.

Ἐ. Καὶ πῶς παρέστησε;

Ἀ. Λέγω ὅτι ἐν τῷ οἱονεὶ φάναι· μὴ γὰρ δὴ νομίσῃς ἄλλων εἰδῶν με λέγειν γένη, τοῦτ' ἔστιν ἄλλων ἀτόμων εἴδη οἷον τῶν συμβεβηκότων, ἀλλὰ τούτων τῶν εἰδῶν, ἐν οἷς εἴδεσίν εἰσιν αἱ ἄτομοι οὐσίαι καὶ τὰ τῶν εἰδῶν τούτων γένη. ἐξηγεῖται δὲ καὶ αὐτὸς ὃ λέγει, ἐν οἷς φησιν ὅτι ὁ

---

1 τοῦ p: τὸ M 2 ἔστι νοῆσαι scripsi: ἐπινοῆσαι Mp 3 τὸ p: τὸν M 4 ἀναιρεθῇ M: ἀναιρεθείη p (fort. recte) 5 κατ' αὐτῶν scripsi: κατ' αὐτὸν Mp 6 κατονομασμέναι M 10 οὐσίας p: οὐσίαν Z: oblitter. M αἰσθηταὶ M: αἰσθητικαὶ p κατονομάσθησαν M 15 θεοῦ Zp: oblitter. M 16 παριστὰς p: παριστᾶ M ταύτας Zp: oblitter. M 20 ᾔσθοντο M: ᾔσθησαν p 21 πρῶτον M: πρῶτα p κατωνόμασε p δευτέρως M: δεύτερα p 22 κατωνομάσθησαν p ἔστι M: ἔτι p 23 αἰσθητὰ M: αἰσθητικὰ p ὡς M: om. p 32 οἱονεὶ Zp: οἱονὶ M 33 τοῦτ' ἔστιν ἄλλων] *aliorumve* Felic., an ⟨μηδὲ ἄλλα εἴδη⟩, τοῦτ' ἔστιν ἄλλων? 34 τούτων τῶν εἰδῶν] *has species* Felic. (recte) εἰσὶν p: ἐστὶν M

⟨τὶς⟩ ἄνθρωπος ὡς ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένος δὲ τοῦ εἴδους ἐστὶ τούτου τὸ ζῷον.

'Ε. Ἀλλὰ διὰ τί μὲν πρῶται οὐσίαι αἱ ἄτομοι, ἱκανῶς παρέστησας· διὰ τί δὲ δεύτεραι τὰ γένη καὶ τὰ εἴδη τῶν ἀτόμων οὐσιῶν, ὀφείλεις διδάξαι.

'Α. Λέγω ὅτι τὰ εἴδη καὶ τὰ γένη τῶν πρώτων οὐσιῶν εἰκότως δεύτεραι οὐσίαι λέγονται. μόνα γὰρ δηλοῖ τὴν πρώτην οὐσίαν τῶν κατηγορουμένων ταῦτα· τὸν γὰρ Σωκράτην ἂν ἀποδιδῷ τις τί ἐστιν, τὸ μὲν εἶδος καὶ τὸ γένος ἀποδιδοὺς οἰκείως ἀποδώσει καὶ γνωριμώτερον ποιήσει ἄνθρωπον ἀποδιδοὺς καὶ ζῷον ἤ τι ἄλλο τῶν ἐννέα· τούτων γὰρ ὅτιπερ ἂν ἀποδῷ, οὐ κυρίως ἔσται ἀποδεδωκώς, οἷον ἢ λευκὸν ἢ τρίπηχυ ἢ ὑγρὸν ἢ τρέχον ἢ ὁτιοῦν τῶν τοιούτων· αἱ γὰρ τοιαῦται κατηγορίαι ἀπὸ τῶν συμβεβηκότων γινόμεναι παρὰ φύσιν ἂν εἶεν οὐ τὸ τί ἐστι τὸ ὑποκείμενον δηλοῦσαι, ἀλλὰ ἄλλων τί αὐτῷ συμβέβηκεν, οἰκείως δὲ αἱ ἀπὸ τῶν εἰδῶν καὶ τῶν γενῶν. ὥστε εἰκότως τὰ εἴδη καὶ τὰ γένη τῶν οὐσιῶν μόνα τῶν ἄλλων μετὰ τὰς πρώτας οὐσίας δεύτεραι οὐσίαι λέγονται.

'Ε. Ἔτι ἄλλην αἰτίαν τινὰ εἰπὲ τοῦ δευτέρας οὐσίας ῥηθῆναι τὰ εἴδη καὶ τὰ γένη τῶν πρώτων οὐσιῶν.

'Α. Φημὶ ὅτι ὁμοιότητα μάλιστα τὰ εἴδη καὶ τὰ γένη ταῖς πρώταις οὐσίαις ἔχει. ὡς γὰρ ἐκεῖναι πᾶσιν τοῖς ἄλλοις ὑποκείμεναι κυριώταται 24v οὐσίαι λέγονται, οὕτως καὶ τὰ εἴδη καὶ τὰ γένη πρὸς τὰ ἄλλα πάντα ἔχει· κατὰ γὰρ τούτων τὰ λοιπὰ κατηγορεῖται, λέγω δὲ τὰ συμβεβηκότα. ὡς γὰρ τὸν τινὰ ἄνθρωπον εἰπεῖν ἔστι γραμματικὸν καὶ τρίπηχυν καὶ ἀπὸ τῶν ἄλλων συμβεβηκότων παρωνύμως, οὕτως δὲ καὶ ἄνθρωπον καὶ ζῷον γραμματικὸν καὶ τρίπηχυν ἔστιν εἰπεῖν. διὸ αἱ μὲν δεύτεραι οὐσίαι κατὰ τῶν πρώτων οὐσιῶν κατηγοροῦνται συνωνύμως· ὅλως γὰρ τὰ καθ' ὑποκειμένου λεγόμενα συνωνύμως τῶν ὑποκειμένων λέγεται· τοῦ γὰρ ἀνθρώπου κατὰ τοῦ τινὸς ἀνθρώπου καθ' ὑποκειμένου κατηγορουμένου συνωνύμως ὁ ἄνθρωπος ῥηθήσεται, ἐπεὶ γὰρ ὁ Σωκράτης καὶ ἄνθρωπος καὶ ζῷον λογικὸν θνητόν. τὰ δὲ ἄλλα συμβεβηκότα κατὰ μὲν τὸν λόγον οὐκ ἂν ταῖς οὐσίαις συναρμόσειεν, κατὰ δὲ τοὔνομα ἐπὶ τινῶν μὲν κατηγορηθήσεται ὡς ἐπὶ τοῦ σώματος τὸ λευκόν (εἴποι γὰρ ἄν τις τὸ σῶμα λευκόν), ἐπὶ δὲ τινῶν οὔ (οὐκέτι γὰρ ἡ λευκότης ῥηθείη ἂν ἐπὶ τοῦ σώματος)· ὁ μέντοι λόγος τοῦ λευκοῦ οὐκ ἂν κατὰ τοῦ σώματος ῥηθείη ποτέ· οὐ γάρ ἐστι χρῶμα διακριτικὸν ὄψεως τὸ σῶμα.

'Ε. Ἀλλ' ἐπεὶ τὰ εἴδη καὶ τὰ γένη εἴρηκας εἶναι τὰς δευτέρας οὐσίας, ἆρα ἐπ' ἴσης ἂν ἔχοι ταῦτα πρὸς τὰς πρώτας οὐσίας;

'Α. Οὐδαμῶς· μᾶλλον γὰρ τὸ εἶδος οὐσία ἢ τὸ γένος.

---

1 τὶς ex Aristot. inserui   ὡς om. Aristot. εἴδει Zp: εἴδη M   2 τούτου om. Aristot.
4 τὰ γένη καὶ τὰ εἴδη M: om. p   11 ἂν M: om. p   ἀποδῷ M: ἀποδιδῷ p
14 αὐτῷ M: αὐτῶν p   15 τὰ γένη καὶ τὰ εἴδη colloc. p   μόνα Zp: oblitter. M
19 ὁμοιώτητα M   36 τὰς scripsi: τῆς Mp   37 ἆρα Zp: oblitter. M   ταῦτα M: ταύτας p   38 τὸ (prius) M: om. p

'Ε. Διὰ τί;

'Α. Ἔγγιον γὰρ τὸ εἶδος τῇ ἀτόμῳ οὐσίᾳ ἢ τὸ γένος. ἐὰν γὰρ τὴν πρώτην οὐσίαν ἀποδιδῷ τις τί ἐστιν, ἔγγιον ἀποδιδοῖτο τὸ εἶδος ἢ τὸ γένος, οἷον ὅτι ἄνθρωπός ἐστιν ἢ ὅτι ζῷον· τὸ δὲ τῇ μᾶλλον οὐσίᾳ ἔγγιον καὶ αὐτὸ ἂν εἴη μᾶλλον οὐσία· τὸ μὲν γὰρ ἔγγιον καὶ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου, λέγω δὲ ὁ ἄνθρωπος, κοινότερον δὲ τὸ ζῷον.

'Ε. Εἰπὲ καὶ ἄλλην αἰτίαν, καθ' ἣν δείξεις μᾶλλον τὸ εἶδος οὐσίαν ἢ τὸ γένος.

'Α. Ἐπεὶ γὰρ ὡς αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι καὶ πάντα τὰ ἄλλα † κατ' αὐτῶν ἢ καθ' ὑποκειμένου κατηγορεῖσθαι ἢ ἐν αὐταῖς ὡς ἐν ὑποκειμέναις εἶναι διὰ τοῦτο μάλιστα οὐσίαι λέγονται, οὕτω καὶ τὸ εἶδος ἔχει. ὡς γὰρ αἱ πρῶται οὐσίαι πρὸς τὸ εἶδος καὶ τὸ γένος ἔχουσιν, οὕτω καὶ τὸ εἶδος πρὸς τὸ γένος, καὶ πάλιν ὡς αἱ πρῶται οὐσίαι πρὸς τὰ συμβεβηκότα ἔχουσιν, οὕτω καὶ τὸ εἶδος ἔχει. ὑπόκειται γὰρ τὸ εἶδος τῷ μὲν γένει καθ' ὑποκειμένου κατηγορουμένῳ αὐτοῦ, τὰ γὰρ γένη τῶν εἰδῶν οὕτω κατηγορεῖται· ὁμοίως δὲ καὶ τοῖς συμβεβηκόσιν ὑπόκειται τὸ εἶδος καὶ ἔστιν ἐν τούτοις ὡς ὑποκείμενον. ὥστε καὶ ἐκ τούτων τὸ εἶδος μᾶλλον οὐσία. αὐτῶν μέντοι τῶν εἰδῶν καὶ τῶν γενῶν ὅσα μὴ ὑπάλληλα ὄντα ἐστὶ οὐθὲν μᾶλλον τὸ ἕτερον τοῦ ἑτέρου οὐσία ἐστίν, κἂν τὸ μὲν τῇ ἀξίᾳ ὑπερέχῃ, τὸ δὲ λείπηται· οὐθὲν γὰρ οἰκειότερον ἀποδίδωσι κατὰ τινὸς ἀνθρώπου ἄνθρωπον ἀποδιδοὺς ἢ κατὰ τινὸς ἵππου τὸν ἵππον. οὕτως δὲ ἔχει καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν· οὐ γὰρ ἐπεὶ τῇ ἀξίᾳ ὁ Σωκράτης τοῦ Βουκεφαλᾶ ἵππου ἀξιώτερος, διὰ τοῦτο οὖν μᾶλλον οὐσία λέγοιτο ὁ Σωκράτης τοῦ Βουκεφαλᾶ.

'Ε. Ἀλλὰ ἄχρι μὲν δὴ τούτων περὶ τῶν πρώτων οὐσιῶν καὶ τῶν δευτέρων διελέχθης, χρὴ δέ σε καὶ τὸ ἴδιον τῆς οὐσίας εἰπεῖν· ἐπήγγελσαι γὰρ τοῦτο παραστῆσαι, ὅτε ὅρους μὲν ἔφης μὴ ἐνεῖναι παραδοῦναι αὐτῆς, παραδείγματα δὲ καὶ τὸ ἴδιον. καὶ δέδωκας μὲν παραδείγματα, τὸ δὲ ἴδιον παραδοῦναι ὀφείλεις. οὐκοῦν χρὴ πρῶτον ὑπογράψαι τί ἐστιν ἴδιον· ὑπόγραψον.

'Α. Λέγω τοίνυν τριχῶς μὲν λέγεσθαι τὸ ἴδιον, τῶν δὲ τριῶν τρόπων ἕνα εἶναι τὸν κυριώτατον.

---

1. 2 Διὰ τί; Ἔγγιον — τὸ γένος M: om. p 3 putes ἔγγιον ἂν (sed cf. p. 82,14) ἀποδιδοῖτο τὸ scripsi: ἀποδίδοι τὸ Mp 5 μᾶλλον M: τὸ μᾶλλον ὂν p 6 κοινώτερον M 10 κατ' αὐτῶν] καθ' αὐτῶν M: καθ' αὐτῶν p, corrigas ἢ κατ' αὐτῶν ὡς καθ' ὑποκειμένων 15 τὸ μὲν γένει M κατηγορουμένῳ scripsi: κατηγορούμενον Mp 17 τούτοις scripsi: τούτῳ Mp (cf. p. 89,27) 18 αὐτῶν μέντοι τῶν εἰδῶν ὅσα μὴ ὑπάλληλα ὄντα ἐστὶν καὶ γένη Simpl.c (f. 22v23), quod reponas 19 μὴ M: μὲν p τὸ et τοῦ om. Aristot. Simpl.c 20 ὑπερέχῃ et λείπηται p: ὑπερέχει et λείπεται M 20. 21 ἀποδίδωσι Mp: ἀποδώσεις Aristot.: ἀποδώσει ὁ Simpl.c: scribas ἀποδίδωσιν ὁ 21 τοῦ τινὸς utrobique et τὸν ἄνθρωπον Aristot. Simpl.c recte ἀποδοὺς Simpl.c 22 ἐπὶ M: τὸ p ἐπεὶ M: ἐπὶ p 23 ἀξιώτερος] τιμιώτερος Simpl.c οὖν om. Simpl.c 24 λέγοιτο M: λέγοιτο ἂν p Simpl.c (cf. p. 82,14) βουκεφαλᾶ ἵππου Simpl.c 27 ἐνεῖναι M: εἶναι p 29 an 'Α. Οὔκουν et ἴδιον; 'Ε. Ὑπόγραψον? 30 ὑπόγραψον M: om. p

ʼΕ. Λέγε τοὺς τρεῖς τρόπους.

ʼΑ. Ἴδιον γάρ ἐστιν ὅ γε πᾶσιν μὲν πρόσεστιν, οὐ μέντοι μόνοις, ἢ ὃ μόνοις μέν, οὐ πᾶσι δέ, ἢ τὸ γοῦν κυριώτατον ὃ καὶ πᾶσι καὶ μόνοις.

ʼΕ. Λέγε τούτων παραδείγματα.

ʼΑ. Εἴποιμι γὰρ ὅτι ἴδιον ἀνθρώπων τὸ εἶναι δίποδας· ἀλλὰ πᾶσι μὲν τοῦτο συμβέβηκεν, οὐ μέντοι μόνοις διὰ τὸ καὶ ἄλλα ζῷα εἶναι δίποδα. πάλιν τὸ ῥητορεύειν καὶ χρυσοχοεῖν εἴποιμ' ἂν εἶναι ἀνθρώπων· μόνοις μὲν γὰρ ἀνθρώποις ἐστὶ ταῦτα, οὐ πᾶσι δέ. ἀλλ' ὁρᾷς ὅτι ταῦτα οὐ κυρίως ἂν εἴη ἴδια, ἀλλ' ἐκεῖνά γε ἃ καὶ πᾶσι καὶ μόνοις, ὡς τὸ γελαστικὸν 25v πᾶσιν ἀνθρώποις πρόσεστι καὶ μόνοις. ἐπεὶ τοίνυν οὐσίας ἴδιον ζητοῦμεν, εἴ τε πάσαις συμβέβηκε τοῦτο, μὴ μόναις δέ, ἢ μόναις μέν, οὐ πάσαις δέ, δόξειεν μὲν ἂν ἴδια ταῦτα εἶναι, οὐ μὴν κατὰ ἀλήθειαν ἔσται. μόνον δὲ ἂν ἐκεῖνο ἴδιον, ὃ καὶ μόναις καὶ πάσαις προσείη. αὐτίκα τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι κοινὸν καὶ τῶν πρώτων οὐσιῶν καὶ τῶν δευτέρων, ἀλλ' οὐχὶ μόναις ταῖς οὐσίαις τοῦτο πρόσεστιν, ἀλλὰ καὶ ταῖς διαφοραῖς τῶν οὐσιῶν· οὐ γάρ εἰσιν ἐν ὑποκειμένῳ.

ʼΕ. ʼΑλλὰ πῶς φησιν ταῖς οὐσίαις κοινῶς προσεῖναι τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ὅπου γε τὰ μέρη τῶν οὐσιῶν ὄντα οὐσίαι ἐν ὑποκειμένῳ ἐστὶ τῷ ὅλῳ· τὰ γὰρ μέρη ἐν τῷ ὅλῳ ἐστίν;

ʼΑ. ʼΑλλ' ἐν ὑποκειμένῳ ἐκεῖνο ἀπεδίδοτο τὸ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον· τὰ δὲ μέρη τῶν οὐσιῶν οἷον ἡ χεὶρ καὶ ὁ ὀφθαλμὸς ἐν τῷ ὅλῳ ἐστὶν μέρη. ὥστε ἐν ὑποκειμένῳ εἶναι ἀποδοθείη τὸ συμβεβηκός, τὰ δὲ μέρη τῶν οὐσιῶν ἐν τοῖς ὅλοις ὄντα οὐκ ἐν ὑποκειμένῳ ἐστίν, ἀλλ' ὡς οὐσίαι καὶ οὐχ ὡς συμβεβηκότα. κοινὸν οὖν ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι· ἀλλ' οὐκ ἴδιον ὡς ἴδιον τοῦτο ἀλλὰ τὸ παντὶ προσὸν καὶ μόνῳ· τὸ γὰρ ⟨μὴ εἶναι⟩ ἐν ὑποκειμένῳ προσέστι καὶ ταῖς διαφοραῖς, ὥστε τὸ κυρίως ἴδιον οὐκ ἂν προσείη τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.

ʼΕ. Πῶς οὖν ἡ διαφορὰ οὐκ ἔστιν ἐν ὑποκειμένῳ, καίτοι καθ' ὑποκειμένου λεγομένη;

ʼΑ. Ὅτι τὸ δίπουν καὶ τὸ πεζόν, ἅπερ εἰσὶν διαφοραί, ἐν τῷ ἀνθρώπῳ οὐκ εἰσὶν ὡς συμβεβηκότα· εἰ γὰρ ἦν ὡς τὰ συμβεβηκότα, οὐκ ἂν κατηγορεῖτο τοῦ ἀνθρώπου καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν λόγον· νῦν δὲ τὸν ἄνθρωπον εἴποις ἂν πεζόν, εἴποις δ' ἂν καὶ λόγον τοῦ πεζοῦ, ὅπερ ἐστὶν ἐπὶ γῆς διὰ σκελῶν βαδιστικόν. διὸ καὶ τοῦτο κοινὸν ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ συνωνύμως πάντα κατὰ τούτων λέγεσθαι. οὐ πάσαις δὲ οὐσίαις, ἀλλὰ ταῖς δευτέραις. ἡ μὲν γὰρ ἄτομος οὐσία διὰ τὸ μὴ καθ'

---

7 an εἶναι ⟨ἴδιον⟩? 13 προσείη M: προσῄει p 18. 20 ante ἀλλ' ἐν ὑποκ. distinx. Felic.: ante ὅπου γε M²p 20 ἀπεδίδο M: ἀποδίδοται p 22 μέρη M: μέρει p 25 ἐν ὑποκειμένω Zp: ἐνυποκείμενον M an ὡς ⟨τὸ κυρίως⟩ ἴδιον vel ὡς ⟨τὸ κυρίως λεγόμενον⟩ ἴδιον? (cf. v. 27 p. 96,1) 26 μὴ εἶναι inserui (cf. p. 95,36) 27 an ὥστε ⟨ὡς⟩? τὸ M: τῷ p 33 ἂν κατηγορεῖτο scripsi: ἂν κατηγορεῖται M: ἂν κατηγοροῖτο p an λόγον ⟨τὸν⟩? 35 an ἐστὶν τὸ⟩? διὰ σκελῶν Zp: δίσκελον M 36 κατὰ τούτων] potius ἀπὸ τούτων (ut Aristot.) vel ὑπὸ τούτων (cf. p. 96,23)

ὑποκειμένου λέγεσθαι συνωνύμως οὗ κατὰ τινὸς κατηγορεῖται· οὐ γὰρ ἔχει 26r ἄλλο ὑποκείμενον· τὸ δὲ καθ' ὑποκειμένου ἦν κατηγορεῖσθαι τὸ συνωνύμως τοῦ ὑποκειμένου κατηγορεῖσθαι. ὥστε τὰ εἴδη καὶ τὰ γένη καθ' ὑποκειμένων λεγόμενα τῶν ἀτόμων συνωνύμως αὐτῶν κατηγορεῖται. ὁμοίως δὲ καὶ αἱ διαφοραί· πᾶσα γὰρ διαφορὰ καθ' ὑποκειμένου κατηγορεῖται, οὗ ἂν εἴη διαφορά, διὰ τοῦ τῶν ἀτόμων διαφορὰς μὴ εἶναι· διαφορὰ γάρ ἐστι, καθ' ὃ ἕκαστον τῶν εἰδῶν ἄλλο ἄλλου διαφέρει ἤτοι ⟨τὸ⟩ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον. εἰδῶν οὖν καὶ γενῶν αἱ διαφοραί, οὐκ ἀτόμων.

'Ε. Εἰ οὖν μήτε οὐσία ἐστὶν ἡ διαφορὰ (ἔφης γὰρ μὴ εἶναι οὐσίαν, εἰ καὶ αὕτη οὐκ ἔστιν ἐν ὑποκειμένῳ ὥσπερ καὶ ἡ οὐσία) μήτε συμβεβηκὸς (οὐ γάρ ἐστιν ἐν ὑποκειμένῳ), μεταξὺ δὲ οὐσίας καὶ συμβεβηκότος οὐδέν ἐστιν ἄλλο· πάντα γὰρ τὰ ὄντα ἢ ἐν ὑποκειμένῳ ἐστὶν ἢ οὐκ ἐν ὑποκειμένῳ, πάντα γὰρ ἢ οὐσίαι ἢ συμβεβηκότα, συμβεβηκότα μὲν ὡς τὰ ἐν ταῖς ἐννέα κατηγορίαις, οὐσίαι δὲ ὡς ἔχει ἡ οὐσία· εἰ οὖν μήτε οὐσία μήτε συμβεβηκὸς ἡ διαφορά, τί ἂν εἴη;

'Α. Φησὶν ὁ Ἀριστοτέλης, ὅτι οὔτε ποιότης ἐστὶν μόνον (ἦν γὰρ ἂν συμβεβηκός), οὔτε οὐσία μόνον (ἦν γὰρ συγκαταριθμημένη ταῖς οὐσίαις ταῖς δευτέραις), ἀλλὰ τὸ ὅλον τοῦτό ἐστι ποιότης οὐσιώδης· διόπερ οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται ἑκάστου οὗ κατηγορεῖται ἀλλ' ἐν τῷ ποῖόν τί ἐστιν.

'Ε. Ἐπίδειξον οὖν, πῶς ποιότης οὐσιώδης ἐστὶν ἡ διαφορά.

'Α. Οὐσιώδεις εἰσὶν ποιότητες αἱ συμπληρωτικαὶ τῶν οὐσιῶν. συμπληρωτικὰ δέ εἰσιν ἐκεῖνα, ἅτινα ἀπογινόμενα φθείρει τὰ ὑποκείμενα. ἃ δὲ γινόμενα καὶ ἀπογινόμενα οὐ φθείρει, οὐκ ἂν εἴη οὐσιώδη. οἷον ἡ θερμότης πρόσεστι τῷ θερμῷ ὕδατι, πρόσεστι δὲ καὶ τῷ πυρί· ἀλλὰ τῷ μὲν ὕδατι οὐκ οὐσιωδῶς πρόσεστιν· ἀρθείσης γὰρ τῆς θερμότητος οὐ φθείρεται ψυχρὸν γινόμενον τὸ ὕδωρ. τῷ δὲ πυρὶ οὐσιωδῶς πρόσεστιν· ἀρθεῖσα γὰρ ἡ θερμότης φθείρει τὸ πῦρ. καὶ αἱ διαφοραὶ οὖν σχεδὸν τοιαῦταί εἰσιν ὡς ποιότητες οὐσιώδεις· τὸ γὰρ λογικὸν ἐὰν ἀρθῇ ἀπὸ τοῦ ἀνθρώπου, 26v φθείρεται, καὶ τὸ χερσαῖον ἐὰν ἀρθῇ αὐτοῦ, φθείρεται, ἐπεὶ καὶ τὸ θνητὸν ἐὰν ἀρθῇ αὐτοῦ, φθαρείη ἂν μεταβάλλων εἰς ἀθάνατον. διὸ καὶ εἰς τὸν ὁρισμὸν τῆς οὐσίας παραλαμβάνεται ἡ διαφορὰ ὡς συμπληρωτικὴ οὖσα τῆς οὐσίας, τὰ συμπληρωτικὰ δὲ τῶν οὐσιῶν οὐσίαι. καὶ τὰ συμβεβηκότα μὲν οὐ δηλοῖ τὴν οὐσίαν, ἡ διαφορὰ δὲ δηλοῖ· ζῴου γὰρ ὄντος τοῦ ἀνθρώπου, ποῖόν τι ζῷον, δηλοῦσιν αἱ διαφοραί· ἔσονται οὖν οὐσιώδεις ποιότητες. τὸ μὲν οὖν μὴ εἶναι ἐν ὑποκειμένῳ προσὸν πάσαις ταῖς οὐσίαις οὐ μόναις

1 κατηγορεῖται Zp: κατηγορούμενον M 3 τοῦ M: καθ' p 3. 4 ὑποκειμένων scripsi: ὑποκειμένου Mp 7 ἤτοι τὸ scripsi: ἤτοι Zp: oblitter. M 10 οὖν — ἐστὶν Zp: oblitter. M οὐσίαν M: om. p 11 αὕτη p: ταύτη M: malim αὐτὴ 12 ἐν ὑποκειμένῳ Zp: ἐνυποκείμενον M οὐδὲν M: οὐδ' ἓν p 14 οὐσίαι p: οὐσία M 16 post συμβεβηκὸς add. ἐστὶν p: om. M 18. 19 ταῖς δευτέραις οὐσίαις p 21 πῶς οὐσιώδης ποιότης ἡ διαφορά ἐστιν colloc. p 22. 29 ποιότηταις M (utrobique) 31 μεταβάλλων M: μεταβάλλον p 33 μὲν M: δὲ p 36 προσὸν p: πρὸς ὧν M μόναις M: μόνον p

προσῆν, ἀλλὰ καὶ ταῖς διαφοραῖς. καὶ διὰ τοῦτο οὐκ ἂν εἴη ἴδιον ὡς τὸ κυρίως λεγόμενον ἴδιον.

Ἐ. Δεῖξον οὖν καὶ ἄλλο δοκοῦν ἴδιον τῆς οὐσίας, οὐκ ὂν δέ.

Ἀ. Τὸ τόδε τί φημι σημαίνειν· ὅταν γὰρ εἴπω Σωκράτης, τόδε τι σημαίνω.

Ἐ. Ἆρα οὖν ἐπὶ πάσης οὐσίας ἔστι κατηγορῆσαι τὸ τόδε;

Ἀ. Οὐδαμῶς· οὐκέτι γὰρ ἐπὶ τῶν δευτέρων οὐσιῶν ἔστιν φάναι τὸ τόδε ἀλλὰ μᾶλλον τὸ τοιόνδε· ὁ γὰρ ἄνθρωπος καὶ τὸ ζῷον οὐκ ἔστιν ἀφωρισμένου τινὸς καὶ ἑνὸς δηλωτικόν· τί γὰρ μᾶλλον τὸν Σωκράτην ἐδήλωσα ἄνθρωπον εἰπὼν ἢ τὸν Πλάτωνα; ὁμοίως δέ, κἂν τὸ ζῷον εἴπω, οὐδὲν μᾶλλον ἀκούεται ὑπὸ τῆς φωνῆς ταύτης ἄνθρωπος ἢ ἵππος ἢ βοῦς ἢ κύων ἤ τι τῶν ἄλλων ζῴων. οὐκ ἐφαρμόζει οὖν ἐπὶ τῶν δευτέρων οὐσιῶν τὸ τόδε ἀλλὰ μᾶλλον τὸ τοιόνδε.

Ἐ. Τί οὖν ἐστιν ὃ ἔφη· οὐχ ἁπλῶς δὲ τὸ ποιὸν σημαίνει ὁ ἄνθρωπος καὶ τὸ ζῷον ὥσπερ τὸ λευκόν, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει· ποιὰν γάρ τινα οὐσίαν σημαίνει; καὶ γὰρ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ ὅσαι εἰσὶ ποιότητες περὶ οὐσίαν ἀφορίζουσι τὸ ποιόν· οὐ γὰρ ἄνευ οὐσίας δύνανται εἶναι, ἀλλ' ἐν αὐτῇ εἰσιν.

Ἀ. Λέγει δὲ ὅτι οὐχ ἁπλῶς ποιότητα παρίστησιν ὁ ἄνθρωπος ἀλλὰ δύο τινὰ τοὐλάχιστον· οὐσιώδη γὰρ ποιότητα καὶ κοινότητα τῶν ὑποβεβλημένων οὐσιῶν δηλοῖ. τὸ δὲ λευκὸν οὔτε οὐσιώδη ποιότητα παρίστησιν οὔτε ἀνθρώπου οὔτε βοὸς οὔτε λίθου οὔτε ἄλλης οὐδεμιᾶς οὐσίας κοινότητα 27r
* * * ἔτι τὸ συνωνύμως τὰ ὑπ' αὐτῶν κατηγορεῖσθαι· ἀλλ' οὐ πάσαις ὑπάρχει ταῖς οὐσίαις τοῦτο· αἱ γὰρ ἄτομοι κατ' οὐδενὸς κατηγοροῦνται. ἴδιον δέ ἐστιν τὸ μόνῳ καὶ παντὶ ὑπάρχον, τοῦτο δὲ οὐ παντὶ ὑπάρχει· οὐκ ἄρα ἴδιον τῆς οὐσίας. ἔτι εἴρηκεν ὅτι τόδε τι δοκεῖ σημαίνειν ἡ οὐσία· ἀλλ' οὐδὲ τοῦτο πάσῃ ὑπῆρχεν· τὰ οὖν γένη καὶ τὰ εἴδη οὐ τόδε τι ἀλλὰ τὸ τοιόνδε μᾶλλον σημαίνει. οὐκ ἄρα οὐδὲ τοῦτο ἴδιον αὐτῆς.

Ἐ. Τί οὖν πρὸς τούτοις καὶ ἄλλο λέγει;

Ἀ. Τὸ μηδὲν εἶναι τῇ οὐσίᾳ ἐναντίον. δηλοῖ δὲ τοῦτο ἡ ἐπαγωγή· οὔτε γὰρ τῷ Σωκράτει ἐστί τι ἐναντίον ἀλλὰ μὴν οὐδὲ τῷ λίθῳ οὐδὲ τῷ βοῒ οὐδέ τινι ἄλλῃ οὐσίᾳ.

Ἐ. Ἆρα οὖν μόνῃ τῇ οὐσίᾳ τοῦτο πρόσεστιν, ἵνα ᾖ αὐτῆς τοῦτο ἴδιον;

Ἀ. Οὐδαμῶς· οὐδὲ γὰρ τῷ ἀφωρισμένῳ ποσῷ ἔστι τι ἐναντίον· τοῖς γὰρ δύο τί ἂν εἴη ἐναντίον; ἴσως τις τὰ τρία εἴποι· τί οὖν μᾶλλον . . .

4 τὸ τόδε M: τόδε p 18 δύνανται scripsi: δύναται Mp 20 post κοινότητα superscr. ὁμοιότητα καθ' ἣν ἐοίκασιν οἱ ἄνθρωποι καθὸ ἄνθρωποι καὶ τὰ ζῷα καθὸ ζῷα M[2] 22 post κοινότητα defectum significavi, nam cum verbis proximis ea quae adhuc allata sunt propria repetantur, et interrogatio magistri et primum quod videbatur proprium τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι desiderantur 23 τὰ] corrigas πάντα (cf. p. 94,36) vel τὰ ⟨ἄλλα⟩ (Simpl. f. 26^{a}45) πάσαις p: πᾶσιν M 25 τὸ scripsi: τῷ Mp 27 οὖν] corrigas γοῦν 31 σωκράτη M 35 ἀφορισμένω M 36 post μᾶλλον et post τίνας (p. 97,23) folio 170 infimo mutilato duo versus fere quadragenas quinas litteras com-

. . . . φαίη ἐναντίον εἶναι ἢ τὸ μέγα τῷ μικρῷ. ἀλλὰ ταῦτα οὐκ ἔστι τῶν ἀφωρισμένων ποσῶν, οἷς οὐκ ἐρρέθη τὸ εἶναι ἐναντίον. μήποτε οὔτε γένους ἐστὶ ταῦτα τοῦ ποσοῦ, ἀλλὰ μᾶλλον τοῦ πρός τι, ὡς ἐν τῷ περὶ τοῦ ποσοῦ ἐπιδείξει. οὐκ ἴδιον οὖν οὐδὲ τὸ μὴ ἔχειν τι ἐναντίον τῆς οὐσίας.

'Ε. Τί οὖν ζητεῖ ἄλλο ἴδιον αὐτῆς;

'Α. Τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· οὐχ ἁπλῶς δέ, ἀλλὰ μετὰ διαστολῆς· ἡ γὰρ ἄτομος οὐσία οὔτε αὐτὴ ἑαυτῇ παραλαμβανομένη οὔτε ἄλλῃ ὁμοίως ἀτόμῳ μᾶλλον ἂν εἴη ἢ ἧττον οὐσία οὔτε ἡ κατὰ τὸ εἶδος καὶ τὸ γένος οὐσία οὔτε ἑαυτῇ οὔτε ἄλλῃ παραλαμβανομένη ὁμοστοίχῳ οὐσίᾳ μᾶλλον ἂν εἴη οὐσία ἢ ἧττον.

'Ε. Εἰπὲ ἐπὶ παραδειγμάτων.

'Α. Ὁ Σωκράτης ἄτομος ὢν οὐσία οὐκ ἔστιν ὁ τήμερον τοῦ αὔριον μᾶλλον ἢ ἧττον Σωκράτης οὐδὲ ὁ αὔριον τοῦ τήμερον ἢ τοῦ πρὸ ἡμερῶν δέκα. οὐδέ γε μᾶλλον ἢ ἧττον Σωκράτης οὐσία ἢ Πλάτων. οὐδὲ μὴν τὸ εἶδος ὁ ἄνθρωπος μᾶλλον ἢ αὐτὸς ἑαυτοῦ γένοιτο μᾶλλον οὐσία ἢ ἄλλου ἀνθρώπου. οὐκοῦν καθ' αὑτὸ τοῦτο, καθό ἐστιν οὐσία, μᾶλλον οὔτε ἑαυτοῦ 27v οὔτε ἄλλου δόξειεν εἶναι οὐσία. τὸ μέντοι λευκὸν αὐτὸ ἑαυτοῦ μᾶλλον ἂν γένοιτο λευκότερον καὶ ἄλλου μᾶλλον ἂν εἴη λευκόν. ἄλλη μέντοι ἄλλης οὐσία ἐρρέθη εἶναι μᾶλλον, ὅταν μὴ ὁμόστοιχος ᾖ, ἀλλ' ἡ μὲν ἄτομος, ἡ δὲ γένος ἢ εἶδος. ἡ γὰρ ἄτομος οὐσία μᾶλλον τῆς κατὰ τὸ εἶδος καὶ τὸ γένος ἐρρέθη εἶναι οὐσία.

'Ε. Τίνας . . . .
. . . . τὰς γενικὰς ταῖς γενικαῖς.

'Ε. Ἆρα οὖν μόνη τῇ οὐσίᾳ πρόσεστιν;

'Α. Οὐδαμῶς· οὐδὲ γὰρ τὸ διπλάσιον τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται οὔτε ὁ πατήρ· τί γὰρ μᾶλλον Ὀδυσσεὺς τήμερον Τηλεμάχου πατὴρ ἢ ὅτε ἦν ἐν τῇ Ἰθάκῃ ἢ ὅτε ἐπανῆλθεν ἐκ τῆς Τροίας; ὥστε οὐκ ἴδιον τῆς

---

plectentes perierunt M: post μᾶλλον add. τὰ τρία ἢ τὰ τέσσαρα ἢ τὰ πέντε ἢ τὰ ἕξ Zp; detrimentum resarseris ex Simpl. f. 26v49 τοῖς γὰρ δύο οὐδέν ἐστιν ἐναντίον. οὐ γὰρ δήπου τὰ τρία· τί γὰρ μᾶλλον οὗτος ἢ ἄλλος τις τῶν διωρισμένων ἀριθμῶν; ἀλλὰ μὴν ἕν γε ἑνὶ μόνως ἐστὶν ἐναντίον· οὐκ ἄρα τὰ τρία οὐδὲ ἄλλος διωρισμένος ἀριθμὸς οὐδεὶς τοῖς δύο ἀντίκειται. εἰ δὲ καὶ τὰ τοιαῦτα ποσὰ μὴ ἐπιδέχεται τὸ ἐναντίον, οὐκ ἔστιν τῆς οὐσίας ἴδιον τοῦτο, εἴπερ μὴ μόνῃ ὑπάρχει. εἰ δέ τις καὶ ἐν τῷ ποσῷ ἐναντίωσιν εἶναι λέγοι τὸ πολὺ τῷ ὀλίγῳ ἐναντίον τιθεὶς καὶ τὸ μέγα τῷ μικρῷ καὶ διὰ τοῦτο ἴδιον εἶναι λέγοι τῆς οὐσίας τὸ μηδὲν ἔχειν ἐναντίον ὡς μόνῃ αὐτῇ ὑπάρχον, ἴσως μὲν οὐδὲ ποσὰ ταῦτά ἐστιν ἀλλὰ πρός τι κτλ. 3 ἀφορισμένων M ἐρέθη M τὸ] potius τι οὔτε] corrigas οὐδὲ 4. 5 post ποσοῦ addas ex Simpl. λόγῳ 5 οὖν M: om. p οὐδὲ supra scr. M ἔχειν M: ἐστι p 11 ὁμοστοίχω M: ὁμοστίχῳ p 14 ὁ supra scr. M πρὸ M: om. p ἡμερῶν Zp: oblitter. M 15 ὁ σωκράτης et ὁ πλάτων p 16 μᾶλλον inducas ἑαυτοῦ Zp: ἑαυτῶ M 18 μᾶλλον inducas 19 ἄλλη scripsi: ἄλλο Zp: oblitter. M 20 οὐσία scripsi: οὐσίας Mp 23 post τίνας XC fere litterae ablatae M: lac. p; intercidisse puto talia: τίνας ⟨οὐσίας φῂς ὁμοστοίχους εἶναι; 'Α. Ὁμοστοίχους φημὶ εἶναι τὰς ἀτόμους ταῖς ἀτόμοις καὶ τὰς εἰδικὰς ταῖς εἰδικαῖς καὶ⟩ τὰς 26 οὐδαμῶς Zp: οὐδὲν M

οὐσίας μόνον τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον καθ' ἑαυτήν τε ἐξεταζομένῃ καὶ τῶν ἄλλων τῶν ὁμοστοίχων.

'Ε. Τί οὖν μάλιστα οὐσίας λέγοιμεν ἴδιον εἶναι;

'Α. Τὸ μίαν καὶ τὴν αὐτὴν οὖσαν ἀριθμῷ δεκτικὴν εἶναι τῶν ἐναντίων. οἷον Σωκράτης εἷς ὢν ἀριθμῷ δεκτικός ἐστιν ὑγείας καὶ νόσου καὶ ἡ αὐτὴ ψυχὴ φρονήσεως καὶ ἀφροσύνης.

'Ε. Τί δέ; οὐχὶ καὶ ὁ λόγος εἷς ὢν ἀριθμῷ ἐπιδεκτικός ἐστι τῶν ἐναντίων, ποτὲ μὲν ἀληθής, ποτὲ δὲ ψευδὴς γενόμενος; οἷον τὸ 'ἡμέρα ἐστίν' οὐχ ὁτὲ μὲν ἀληθές, ὁτὲ δὲ ψεῦδος; μήτι οὖν οὐσία ἐστὶν ὁ λόγος;

'Α. Οὐκ ἔστιν.

'Ε. Ἀλλὰ τίνος κατηγορίας;

'Α. Τοῦ ποσοῦ.

'Ε. Οὐκ ἄρα ἴδιον τῆς οὐσίας τὸ ἐπιδεκτικὸν εἶναι τῶν ἐναντίων· πῶς οὖν ἴδιον ἔφη εἶναι τῆς οὐσίας τοῦτο;

'Α. Ὅτι ἡ οὐσία ἐπιδεκτική ἐστι τῶν ἐναντίων αὐτὴ πάσχουσα, ὁ δὲ λόγος οὐδέν τι πάσχει.

'Ε. Πῶς;

'Α. Ὅτι ὁ Σωκράτης ὁτὲ μὲν ὑγιαίνει, ὁτὲ δὲ νοσεῖ ὁ αὐτὸς μεταβάλλων. ὁ δὲ λόγος οἷον ὁ 'ἡμέρα ἐστίν' ποτὲ μὲν ἀληθὴς γίνεται, ποτὲ 28r δὲ ψευδὴς μὴ μεταβάλλων ἑαυτὸν ἀλλὰ τοῦ πράγματος περὶ οὗ λέγεται μεταβάλλοντος αὐτόν. * * * μὴ δεχόμενος αὐτὸς μεταβολὴν ὁτὲ μὲν ἀληθὴς εὑρίσκεται, ὁτὲ δὲ ψευδής.

'Ε. Ἀλλὰ τὴν μὲν ἔνστασιν ἔλυσας· εἰ δὲ ἴδιόν ἐστι τὸ παντὶ καὶ μόνῳ, δεῖξον ὅτι πάσῃ τε οὐσίᾳ τοῦτο πρόσεστι καὶ μόνῃ.

'Α. Ὅτι μὲν μόνῃ, δεῖξαι ἔχω, ὅτι δὲ πάσῃ, ἴσως δυνήσομαι.

'Ε. Δεῖξον οὖν ὅτι μόνῃ.

'Α. Τῶν μὲν γὰρ ἄλλων ὅ τι ἂν τις λάβοι οὐχ εὑρήσει ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ τυγχάνον τῶν ἐναντίων ὂν δεκτικόν, μόνην δὲ τὴν οὐσίαν τοῦτο ἐπιδεχομένην. τὴν γοῦν πρᾶξίν φαμεν καλήν, ποτὲ δὲ καὶ αἰσχρὰν εἶναι, ἀλλ' οὐ τὴν αὐτὴν καὶ μίαν οὖσαν ἀριθμῷ ἀλλὰ τὴν ἢ καιροῖς διαφόροις ληφθεῖσαν ἢ ἄλλως καὶ ἄλλως πραχθεῖσαν. ἡ δὲ οὐσία οὐκ ἄλλη ἂν γένοιτο ἀλλὰ μία καὶ ἡ αὐτὴ μένουσα ἀγαθή τε καὶ αἰσχρά. καὶ οὕτως ἐπὶ τῶν ἄλλων.

'Ε. Ὅτι μὲν οὖν ἐπὶ μόνης τῆς ἀτόμου οὐσίας τοῦτο συμβαίνει, ἔδειξας· ἀλλ' εἰ καὶ ἐπὶ πάσης, τότε ἂν εἴη ἴδιον τῆς οὐσίας τοῦτο.

'Α. Πρῶτον μὲν ἐπὶ τῶν αἰδίων οὐκ ἂν ἔχοιμεν τοῦτο δεῖξαι· οὔτε

4 τὴν αὐτὴν] τ' αὐτὴν M: ταυτὴν p 5 ὑγείας M: ὑγίας p 11 κατηγορίας scripsi: κατηγ^ο M: κατηγορεῖται p 13 ἐπιδεκτικὸν M: ἐπιδεκτικὴν p 19 ὁ (alterum) M: τὸ p 21 ante μὴ addas ὁ λόγος οὖν, nisi maiorem statuas defectum (cf. Simpl. f. 29v68) αὐτὸς M: om. p 23 τὸ scripsi: τῷ Mp 24 post μόνῳ inseras προσόν 27 ἄλλων Zp: oblitter. M λάβοι M: om. p; an λάβῃ? (cf. p. 102,17 not.) 28 ὂν M: οὐ p 29 post φαμεν addendum fortasse ποτὲ μὲν 30 μίαν Zp: ἓν M 34 συμβαίνει M: σημαίνει p 36 ἐπὶ M: ἐστὶ p οὔτε] an οὐδὲ?

γὰρ ὁ οὐρανὸς κινούμενος ἀεὶ καὶ ὢν οὐσία οὐκ ἄν ποτε σταίη, στάσει δὲ κίνησις ἐναντία. ἀλλ' ἔστω μὴ ἐπὶ τῶν αἰδίων ὁ λόγος οὐσιῶν. μονοειδῆ γὰρ ταῦτα καὶ ὡς ἐπὶ τὸ πλεῖστον οὐκ ἐπιδεκτικὰ τῶν ἐναντίων· ἀλλὰ καὶ τὸ πῦρ τῶν φθαρτῶν ὂν θερμότητος μέν ἐστιν ἐπιδεκτικόν, ψυχρότητος δ' οὔ, καὶ ἡ χιὼν ψυχρότητος μὲν ἐπιδεκτική, θερμότητος δ' οὔ, καὶ τὸ ὕδωρ ὑγρότητος μέν, ξηρότητος δ' οὔ. πρὸς δὴ ταῦτα φήσειεν ἂν ὁ Ἀριστοτέλης τὴν οὐσίαν εἶναι δεκτικὴν φάναι ἀλλ' οὐχὶ οὐσιῶσθαι δύνασθαι ἐν τοῖς ἐναντίοις, τὸ δὲ πῦρ τὴν θερμότητα οὐκ ἐπεδέξατο, ἀλλ' ἔστιν αὐτοῦ ἐν τῇ οὐσίᾳ ἡ θερμότης, οὐκ ἔστι δὲ τὰ ἑαυτοῦ ἐπιδέχεσθαι ἀλλὰ τῶν ἔξωθέν τι. αὐτίκα καὶ τὸ ὕδωρ τῷ μὴ οὐσιῶσθαι ἐν θερμότητι ἐπι- 28v δεκτικόν ἐστιν θερμότητος καὶ ψυχρότητος, ὑγρότητος δὲ οὐκ ἔστιν ἐπιδεκτικόν, ὥσπερ ἡ γῆ, ἐπειδὴ ἐν οὐσίᾳ ἐστὶν ἡ ὑγρότης αὐτοῦ. τῆς δὲ γῆς οὐκ ἐν οὐσίᾳ ἐστὶν ἡ ὑγρότης· διὸ ἐπιδέχεται καὶ ξηρότητα. καὶ τὰ οὐράνια δὲ οὐκ ἐπιδέχεται ἐναντιότητα τὴν ἀντικειμένην τῇ οὐσιώδει αὐτῶν ποιότητι. ὅθεν οὐδὲ ποιότητες ἁπλῶς αὗται ἀλλ' οὐσιώδεις. τῶν δὲ παρὰ τὰς συμπληρωτικὰς οὐσίας ποιοτήτων ἐπιδεκτικαὶ αἱ οὐσίαι. ἀνὰ μέρος μὲν οὐσίαι ὅ εἰσιν ἓν ἀριθμῷ, ἐπιδέχονται τὰς ἔξωθεν ἐναντιότητας, ὅπερ οὐδὲν ἄλλο τῶν ἐννέα γενῶν. ὡς δὲ ἡ μία τῷ ἀριθμῷ ἡ ἄτομος τοῦτο πέπονθε, οὕτως καὶ αἱ δεύτεραι· εἰ γὰρ ὁ Σωκράτης σπουδαῖος καὶ ἄφρων, καὶ ἄνθρωπος ἂν εἴη σπουδαῖος καὶ ἄφρων καὶ ζῷον διὰ τὸ τὸν Σωκράτην καὶ ἄνθρωπον εἶναι. ὡς οὖν οὐσία, εἴπερ καὶ ἄνθρωπος οὐσία καὶ τὸ ζῷον οὐσία, ἐπιδεκτικὸν καὶ ὁ ἄνθρωπος τὸ ζῷον τῶν ἐναντίων· ὡς δὲ καθόλου ὄντα οὐ ταῦτα ἂν εἴη ἐπιδεκτικὰ ἀλλὰ τὰ ὑπ' αὐτά. ὥσπερ τὸ χρῶμα οὔτε λευκὸν οὔτε μέλαν, ὑπ' αὐτὸ δὲ τὸ λευκὸν καὶ τὸ μέλαν, οὕτω δὲ καὶ ὁ ἄνθρωπος ᾗ κοινὸν καὶ τὸ ζῷον ᾗ κοινὸν καὶ κατὰ πλειόνων, οὕτω μὲν οὖν οὔτε φρόνιμος οὔτε ἄφρων οὔτε νοσῶν καὶ ὑγιαίνων, ὑπ' αὐτὰ δὲ καὶ οἱ φρόνιμοι καὶ οἱ ἄφρονες καὶ οἱ νοσοῦντες καὶ οἱ ὑγιαίνοντες. καθὸ μέντοι οὐσίαι καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον τῶν ἐναντίων ἀνὰ μέρος εἰσὶ δεκτικά· ἐπινοεῖται γὰρ καὶ ὁ ἄνθρωπος, καθόσον ἐστὶν οὐσία, ἐπιδεκτικὸς τῶν ἐναντίων ποιοτήτων καὶ τὸ ζῷον· ὑπομένει γὰρ ἑκάτερα μένον τὸ αὐτό. τὸ δὲ χρῶμα ᾗ χρῶμα οὐκ ἐπινοεῖται μέλαν γινόμενον ταὐτὸν καὶ λευκόν, ἀλλὰ τὸ μὲν ἐν ὑποκειμένῳ τῷ χρώματι σῶμα ἀνὰ μέρος δέχεται τὸ λευκὸν καὶ τὸ μέλαν, τὸ δὲ χρῶμα τὸ μὴ

---

1 ὁ supra scr. M 3 ἐπιδεκτικὰ Zp: ἐπιδεκτὰ M 7 post φάναι fort. addas τῶν ἐναντίων 9 ἔστι M: ἔτι p 10 τῷ scripsi: τὸ Mp 11 ψυχρότητος καὶ θερμότητος colloc. p 13 post ἐπιδέχεται addas ὑγρότητα 14 ἀντικειμένην M: κειμένην p οὐσιώδει p: οὐσιώδη M 15 αὗται ἁπλῶς colloc. p 16 αἱ supra scr. M ante ἀνὰ μέρος defectum statuas, quem supplere licet ex Simpl. f. 28v60 τῶν δὲ ἐναντίων ἐστι δεκτικὸν ἡ οὐσία, οὐχ ἅμα δηλονότι· οὐ γὰρ δὴ ἅμα δέξαιτο ἄν τι τὰ ἐναντία· ἀδύνατον γὰρ τοῦτο· ἀλλὰ παρὰ μέρος τοῦ μὲν ἐξισταμένου τῶν ἐναντίων, τοῦ δὲ ἐγγινομένου κτλ. 17 οὐσίαι M: οὐσίας p: an μὲν ⟨οὖν⟩ οὐσίαι, καθό εἰσιν? 20 εἴη scripsi: εἴ M: ᾖ p διὰ scripsi: δὲ Mp 21 ante καὶ ἄνθρωπον inseras ζῷον an ⟨ὁ⟩ ἄνθρωπος? 22 ⟨καὶ⟩ τὸ ζῷον scribas 27 φρόνημοι M 31 μένον τὸ αὐτό transponas post σῶμα (v. 33) 32 ἐν ὑποκειμένῳ Zp: ἐνὑποκείμενον M 33 scribas τὸ ⟨αὐτὸ⟩ μὴ

μένον οὐκ ἐπιδέχεται τὸ λευκὸν καὶ τὸ μέλαν, ἀλλ' ἅμα τῷ ἐξελθεῖν τὸ λευκὸν συναπῆλθεν, καὶ ἅμα τῷ ἐπελθεῖν τὸ μέλαν συνεισῆλθεν· ἀλλ' οὐχὶ μένει μὲν τὸ χρῶμα, ἔξεισι δὲ τὸ λευκὸν καὶ εἴσεισι τὸ μέλαν εἰς αὐτό. 29r δεῖ τοίνυν καθόσον οὐσία ὁ ἄνθρωπος καὶ τὸ ζῷον σκοπεῖν, εἰ μὴ μένει ἑκάτερον καὶ ἐπιδέχεται τὰ ἐναντία ἀνὰ μέρος, ὥστε κοινὸν πάσης οὐσίας καθὸ οὐσία τῶν ἐναντίων εἶναι δεκτικὴν ἀνὰ μέρος. καὶ μόνης τε ταύτης ἴδιον ἂν εἴη τοῦτο, τῆς μέντοι μεταβολῆς δυναμένης γίνεσθαι καὶ οὐ τῆς ἐν τῷ εἶναι περιεχούσης τὸ ἀμετάβατον τῶν ποιοτήτων.

'Ε. Καὶ περὶ μὲν οὐσίας αὐτάρκως τὰ τοιαῦτα ἀποδέδωκας.

[Περὶ ποσοῦ]

διὰ τί οὖν ἡ τοῦ ποσοῦ καὶ οὐχ ἡ τοῦ ποιοῦ μετὰ ταῦτα κατηγορία;

'Α. Ὅτι ἅμα τέ ἐστι καὶ ἕν ἐστιν ἢ πολλά, τὸ δὲ ἓν ἢ πολλὰ τοῦ ποσοῦ οὐ μὴν ἅμα τῷ εἶναι πάντως ἢ ποιόν ἐστιν ἢ πρός τι· καὶ γὰρ τὰ ποσὰ ἀριθμητά ἐστι. τὸ σῶμα, ἵνα μὲν σῶμα ᾖ, τριχῇ διαστατὸν εἶναι ὀφείλει, ἵνα δὲ ποιὸν σῶμα ᾖ, τότε λευκὸν ἢ μέλαν εἶναι ὀφείλει· προηγεῖται δὲ τὸ σῶμα εἶναι τοῦ ποιὸν εἶναι σῶμα.

'Ε. Ἔχεις οὖν καὶ ἄλλην αἰτίαν εἰπεῖν τοῦ μετὰ τὴν οὐσίαν τὸ ποσὸν εἶναι καὶ οὐκ ἄλλην τινὰ κατηγορίαν;

'Α. Ἔχω.

'Ε. Τίνα ταύτην;

'Α. Ὅτι τὰ πλεῖστα τῶν τῇ οὐσίᾳ προσόντων μᾶλλον πρόσεστι τῷ ποσῷ ἢ τοῖς ἄλλοις γένεσιν, οἷον τὸ μήτε ἐναντιότητα ἐπιδέχεσθαι μήτε τὸ μᾶλλον καὶ τὸ ἧττον· ταῦτα γὰρ οὐσίᾳ τε πρόσεστι καὶ τῷ ποσῷ. ἔπειτα τὸ ποιὸν μὲν καὶ τὰ ἐν ταῖς ἄλλαις κατηγορίαις δηλούμενα εἰ ἀφέλοις τῆς οὐσίας, καταλείποις δὲ ἐν αὐτῇ τὸ ποσόν, δύναται εἶναι ἔτι οὐσία· εἰ μέντοι τὸ ποσὸν αὐτῆς ἐξέλοις παντελῶς, τότε κατὰ τὸ συνεχὲς καὶ κατὰ τὸν διωρισμένον ἀριθμὸν οὐδὲν ἂν εἴη ἔτι. ὅλως τε πλησίον τῆς οὐσίας τὸ ποσὸν μᾶλλον ἢ τὰ ἄλλα συμβεβηκότα.

'Ε. Πόσαι οὖν τοῦ ποσοῦ διαφοραί;

'Α. Δύο.

'Ε. Τίνες αὗται;

'Α. Τὸ μὲν συνεχές, τὸ δὲ διωρισμένον.

'Ε. Ὅταν οὖν μετὰ ταύτην λέγῃ τὴν διαίρεσιν, καὶ τὸ μὲν ἐξ

1. 2 τῷ p: τὸ M utrobique 4 μένει Zp: μένῃ M 6 τε] corrigas δὲ vel γε 7 γίνεσθαι M: γενέσθαι p, corrigas μεταβολὴν δυναμένης δέχεσθαι 10 tit. inclusi: Περὶ ποσοῦ M: περὶ τοῦ ποσοῦ p 11 κατηγορία Zp: κατηγορεῖ M 12 an τέ ἐστί ⟨τι⟩? 13 τῷ scripsi: τὸ Mp πάντως M: πάντα p 13. 14 τὰ ποσὰ ἀριθμητά ἐστι nescio an inducenda sint. 16 εἶναι (prius) M: om. p 22. 23 τὸ (ante μᾶλλον et ἧττον) M: om. p 24 ἄλλαις M: om. p 25 καταλείποις M: καταλίποις p δὲ ἐν αὐτῇ oblitt. refecit M3: δὲ αὐτῇ p τὸ ποσὸν Zp: om. M, ubi fortasse in margine exstabant nunc oblitterata ἔτι εἶναι colloc. p 33 ante οὖν add. μὲν p: om. M λέγῃ Zp: λέγει M τὸ M: τὰ p

ἐχόντων θέσιν πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκεν, τὸ δὲ οὐκ ἐξ ἐχόντων θέσιν, ποταπὴν ποιεῖται ταύτην;

᾿Α. Λέγω ὅτι τοῦ αὐτοῦ πάλιν ἐξ ὑπαρχῆς· τὸ γὰρ αὐτό, λέγω δὲ [29v] τὸ ποσόν, διαιρεῖται ἄλλως καὶ ἄλλως· κατὰ ἄλλην γὰρ καὶ ἄλλην ἐπιβολὴν οὐδὲν κωλύει γίνεσθαι τοῦ αὐτοῦ πλείους διαιρέσεις.

᾿Ε. Δεῖξον τοῦτο καὶ ἐπ᾿ ἄλλης κατηγορίας γινόμενον.

᾿Α. Δεικνύω· τὸ γὰρ ζῷον τέμνεται μὲν καὶ εἰς τὸ θνητὸν καὶ ἀθάνατον, καὶ πάλιν ἐξ ὑπαρχῆς εἰς τὸ λογικὸν καὶ ἄλογον, καὶ πάλιν εἰς ὑπόπουν καὶ ἄπουν, καὶ αὖθις ὅλον εἰς τὸ πτηνὸν καὶ πεζὸν καὶ ἔνυδρον. οὕτως οὖν καὶ τὸ ποσὸν ὅλον τέμνεται εἰς τὸ συνεχὲς καὶ τὸ διωρισμένον, καὶ πάλιν κατὰ ἄλλην ἐπιβολὴν εἰς τὸ ἐξ ἐχόντων θέσιν πρὸς ἄλληλα τῶν μορίων καὶ εἰς τὸ μὴ ἐξ ἐχόντων θέσιν.

᾿Ε. ᾿Αλλὰ τὰς τομάς, εἰς ἃς διῄρει, παράστησον.

᾿Α. Τὸ μὲν τοῦ ποσοῦ, ἔφη, διωρισμένον, τὸ δὲ συνεχές.

᾿Ε. Τί οὖν ἐστι τὸ διωρισμένον;

᾿Α. Οὗ μεταξὺ μηδὲν ἐντεθῆναι δύναται, ὥστε δεσμὸν εἶναι τῶν ὁμογενῶν ποσῶν. εἴποιμι δ᾿ ἂν καὶ οὕτως· διωρισμένον ἐστὶ ποσόν, ἐφ᾿ οὗ μὴ ἔστιν κοινὸν ὅρον λαβεῖν, πρὸς ὃν συνάπτει τὰ μέρη. τῶν γὰρ πέντε οὐκ ἔστιν ἡ μονὰς μόνη συνάπτουσα τὰ δύο καὶ τὰ δύο τὰ ἐφ᾿ ἑκάτερα· οὐ γὰρ συνῆπται οὐδὲ αὐτὴ ταῖς δύο ταῖς ἐφ᾿ ἑκάτερα· εἰ γὰρ συνῆπτο, κἂν εἴπομεν τί ἐστι τὸ συνάπτον. τῶν οὖν διῃρημένων ποσῶν εἴη ἂν ὁ ἀριθμός.

᾿Ε. Ἆρα οὖν ὁ ἀριθμὸς μόνος τῶν διωρισμένων ἐστὶ ποσῶν;

᾿Α. Οὐδαμῶς· καὶ γὰρ ὁ λόγος ποσοῦ ἐστι τοῦ διωρισμένου.

᾿Ε. Ποῖος λόγος;

᾿Α. Οὐχὶ ὁ ἐν τῇ διανοίᾳ, ὃς καὶ σιωπώντων ἡμῶν ἐγγίνεται· οὗτος μὲν γὰρ ἢ ἐνέργειά ἐστι τῆς διανοίας ἢ πάθος· ἀλλ᾿ οὐδὲ τὸ σημαινόμενον τὸ ἐκ τοῦ λόγου καθὸ σημαίνεταί ἐστιν ποσόν, ἀλλ᾿ ὃν φθεγγόμεθα.

᾿Ε. Πῶς καὶ τίνα τρόπον;

᾿Α. Πᾶς λόγος ἐξ ὀνομάτων σύγκειται καὶ ῥημάτων καὶ τῶν λοιπῶν, ἃ λέγεται εἶναι τοῦ λόγου μέρη. ταῦτα δὲ πάντα ἐκ συλλαβῶν συνέστηκεν· αἱ δὲ συλλαβαὶ ἢ μακραί εἰσιν ἢ βραχεῖαι· αἱ δὲ μακραὶ πρὸς τὰς βραχείας ἔχουσιν, ὥσπερ τὰ δύο πρὸς τὸ ἕν· ἓν δὲ καὶ δύο ἀριθμός· ὁ δὲ ἀριθμὸς ποσὸν διωρισμένον ἐστί· ὥστε καὶ αἱ συλλαβαί· ὁ δὲ λόγος ἐκ συλλαβῶν· τὸ δὲ συνεστὸς ἔκ τινων τοιοῦτόν ἐστιν, οἷά πέρ εἰσιν [30r] ἐκεῖνα, ἀφ᾿ ὧν συνέστηκεν· ποσὸν οὖν καὶ ὁ λόγος, καὶ διωρισμένον γε ποσόν.

1 θέσιν ἐχόντων colloc. Aristot. αὐτοῖς Aristot. 2 τὸ δὲ M: τὸ δὲ τὰ p 8 τὸ M: om. p εἰς (ante ὑπόπουν) M: om. p: corrigas εἰς ⟨τὸ⟩ 10 ὅλον M: om. p 13 διῄρει scripsi: διήρκει M: διήρησεν p 20 ταῖς utrobique M: τοῖς p 21 εἴπομεν scripsi: εἴπωμεν M: εἴποιμεν p 26 σιωπόντων M 27 οὐδὲ p: οὐδὲν M 33 τὸ Zp: om. vel oblitter. M 34 ὥστε M[3]: οὕτω Zp: ὥστε an οὕτως incertum M[1] 35 συνεστὸς] συνετὸς M: συνεχὲς p

Ἐ. Διὰ τί;

Ἀ. Εἰ γὰρ διωρισμένον ἐστὶν ποσὸν ἐκεῖνο, οὗ μὴ ἔστι κοινὸν ὅρον λαβεῖν τῶν μορίων καὶ οὗ οὐδὲν ἔστιν λαβεῖν κοινόν, ὃ συνδεῖ τὰ μόρια, οὐδὲν δὲ ἔστι λαβεῖν, ὃ συνδεῖ τὰς συλλαβὰς πρὸς ἀλλήλας, διωρισμένον ἄρα ποσὸν εἶεν ἂν αἱ συλλαβαὶ καὶ ὁ λόγος. οἷόν ἐστιν ὄνομα Σωκράτης· τί δή ἐστι τὸ συνάπτον τὴν σω συλλαβὴν πρὸς τὴν κρα ἢ τὴν κρα πρὸς τὴν της. οὐκ ἂν ἔχοιμεν εἰπεῖν. οὐ γὰρ τὸ σημαινόμενον. καὶ γὰρ ἡ βλίτυρι φωνὴ ἁπλῶς ἔχει τὰς τρεῖς συλλαβὰς κειμένας καὶ οὐ συναπτομένας ὅρῳ· οὐδὲν γὰρ σημαίνει. ποσὸν ἄρα διωρισμένον ὁ λόγος.

Ἐ. Ἀλλὰ τὸ διωρισμένον ποσὸν ὅ, τι ποτέ ἐστιν, ἔδειξας· τὸ δὲ συνεχὲς ὁποῖον ἂν εἴη, δεῖξον.

Ἀ. Φημὶ δὴ ἐκεῖνο εἶναι, ὃ τοὐναντίον πέπονθε τῷ διωρισμένῳ· ἐκείνῳ μὲν γὰρ οὐδὲν παρενέπιπτεν, ὃ συνέδει αὐτοῦ τὰ μόρια, τὸ δὲ συνεχὲς ἔχει κοινὸν ὅρον, ὃς συνάπτει πρὸς ἄλληλα τὰ μόρια. οἷον ἐπὶ τῆς γραμμῆς μῆκος οὔσης ἀπλατὲς τὰ μόρια φαίνεται ἀλληλοῦχα. διὸ καὶ κινουμένῳ τῷ μορίῳ συγκινεῖται ἐφεξῆς τὰ μόρια. ἐπὶ δὲ τοῦ διωρισμένου οὐκ ἂν πάθοι τι τοιοῦτον τὰ μόρια· εἰ πυρῶν εἴη μόδιος γέμων, οὐκ ἂν δήπου ἑνὸς πυροῦ κινηθέντος συγκινοῦνται καὶ οἱ ἄλλοι πυροί, ἑνὸς δὲ πυροῦ μορίου τινὸς κινηθέντος κινεῖται ὅλος ὁ πυρὸς τῷ ἀλληλουχεῖν τὰ μέρη. ἡ γραμμὴ τοίνυν εἴη ἂν τοῦ ποσοῦ συνεχοῦς.

Ἐ. Ἔχεις οὖν καὶ ἄλλο παράδειγμα συνεχοῦς ποσοῦ;

Ἀ. Ἔχω.

Ἐ. Τί τοῦτο;

Ἀ. Τὴν ἐπιφάνειαν.

Ἐ. Πῶς γὰρ συνεχὴς ἡ ἐπιφάνεια;

Ἀ. Ὅτι τέμνεται μὲν ἡ ἐπιφάνεια γραμμῇ, καθὸ δὲ τέμνεται, ὅταν ἐκείνη τῇ τομῇ προσῇ, κοινὸς ὅρος γίνεται ἡ ἐπινοουμένη γραμμή, ὥσπερ ἡ ἐπικειμένη ἄνωθεν, καθ' ἣν συνάπτεται ἀλλήλοις τὰ μέρη τῆς ἐπιφανείας. ταύτην δὲ τὴν γραμμὴν εἰ ἐπινοήσειας ἐνεργείᾳ γινομένην καθ' ἑαυτὴν [30v] μεταξὺ τῶν μερῶν, τέμνοι ἂν τὸ ὅλον· ἐὰν δὲ οὐ τέμνῃ, τοῦ μὲν ὥσπερ πέρας θεωρουμένη πέρας μέρους τοῦ δὲ ὡς ἀρχὴ κοινωνοῦσα ἀμφοῖν ὅρος τοῖν μεροῖν συνάπτοι ἂν ταῦτα πρὸς ἄλληλα δι' ἑαυτῆς.

Ἐ. Ἆρα οὖν καὶ ἄλλο ἐστὶ παράδειγμα συνεχοῦς ποσοῦ ὥσπερ ἡ γραμμὴ καὶ ἡ ἐπιφάνεια;

Ἀ. Ναί.

Ἐ. Ποῖον τοῦτο;

Ἀ. Τὸ σῶμα· καὶ γὰρ τὸ σῶμα ποσόν τέ ἐστι καὶ συνεχές. ποσὸν

10 ante διωρισμένον add. μὲν p: om. M 13 μὲν M: om. p 15 ἀπλατὲς Zp: ἀπλατοὺς M 17 πάθοι Zp: πάθη M an ⟨οἷον⟩ εἰ? 18 corrigas συγκινοῖντο 19 τῷ Dp: τὸ M 26 ὅταν] τότε mrg. p 27 ἐκείνη] corrigas ἐπινοίᾳ vel δυνάμει (cf. Simpl. f. 32r 7) προσῇ M: om. p 30 μερῶν M: μορίων p οὐ] an δυνάμει? 31 alterum πέρας inducas κοινωνοῦσα] corrigas κοινὸς οὖσα (cf. p. 103,15)

μὲν γάρ, ὅτι τριχῇ διαστατόν, συνεχὲς δέ, ὅτι τὰ μόρια πρὸς κοινὸν ὅρον συνάπτει τὴν ἐπινοουμένην αὐτῶν μεταξὺ οἷον ἐπιφάνειαν;

Ἐ. Διὰ τί οὖν ἔφης οἷον ἐπιφάνειαν;

Ἀ. Ὅτι ἡ ἐπιφάνεια πέρας μὲν σώματός ἐστιν, μέρος δὲ οὔ.

Ἐ. Τί γὰρ διαφέρει μέρος πέρατος;

Ἀ. Ὅτι ἐκ μὲν μερῶν συνίσταται τὸ ὅλον, ἐκ δὲ περάτων οὐκ ἂν συσταίη· οὔτε γὰρ ἡ γραμμὴ ἐκ σημείων ποτὲ ἂν συσταίη, ἀλλὰ περατοῦται μὲν εἰς σημεῖον, μέρος δὲ αὐτῆς οὐκ ἔστι τὸ σημεῖον ἀλλὰ πέρας, οὔτε ἡ ἐπιφάνεια συσταίη ἂν ἐκ γραμμῶν. ἀλλὰ μέρη μὲν ἐπιφανείας ἐπιφάνειαι, περατοῦται δὲ γραμμαῖς, οὔτε μὴν σώματος μέρη αἱ ἐπιφάνειαι. ἀλλὰ μέρη μὲν σώματος σώματα, περατοῦται δὲ ἐπιφανείαις. ἡ οὖν μεταξὺ τῶν μερῶν τοῦ σώματος ἐπινοουμένη ἐπιφάνεια οὐκ ἔστι κυρίως ἐπιφάνεια ἀλλ᾽ ἐπινοίᾳ· εἰ γὰρ γένοιτο ἐνεργείᾳ, τέμνει τὸ σῶμα καὶ πέρας ἐστὶ τῶν σωμάτων. καθὸ δὲ τμηθῆναι δύναται ἐπιφανείᾳ τοῦτο. ἐὰν ἐπινοήσῃς τοῦ μὲν τινὸς μέρους οἷον πέρας τοῦ δὲ ἀρχήν, κοινὸς ὅρος ἐστὶν ἡ ἐπιφάνεια τῶν μερῶν τοῦ σώματος, οὐκ οὖσα μέν πως, ἐπινοουμένη δέ.

Ἐ. Ἆρα οὖν μόνα ταῦτα συνεχῆ ποσά;

Ἀ. Οὔ, ἀλλὰ καὶ παρὰ ταῦτά ἐστιν ὅ τε τόπος καὶ ὁ χρόνος.

Ἐ. Πῶς ὁ τόπος ποσὸν καὶ ποσὸν τὸ συνεχές;

Ἀ. Ὅτι ὁ τόπος περὶ τὸ σῶμα θεωρεῖται καὶ ἐπηκολούθησε τῷ σώματι, εἴπερ τὸ σῶμά ἐστιν σῶμα. τὸ δὲ σῶμα ᾗ σῶμα τριχῇ διαστατόν· καὶ ὁ τόπος ἄρα, ᾗ σώματός ἐστι τόπος, τριχῇ ἂν εἴη διαστατός.

Ἐ. Πῶς οὖν συνεχὴς ὁ τόπος;

Ἀ. Ὧι γὰρ λόγῳ τὰ τοῦ σώματος μόρια τοῦ ἐν τῷ τόπῳ τινὶ ὄντος 31r
πρός τινα κοινὸν ὅρον συνάπτει, τῷ αὐτῷ λόγῳ καὶ τὰ τοῦ τόπου μόρια, ἅπερ τὰ τοῦ σώματος μόρια κατέχει, πρός τινα κοινὸν ὅρον συνάψει καὶ πρὸς τοῦτόν γε, πρὸς ὃν καὶ τὰ τοῦ σώματος μόρια.

Ἐ. Πῶς οὖν ὁ χρόνος ποσόν;

Ἀ. Ποσὸν μέν, ὅτι ἐν διαστήματι θεωρεῖται καὶ καταμετρεῖται ποσῷ δή τινι ἀριθμῷ, οἷον ὡρῶν, ἡμερῶν τε καὶ νυκτῶν, μηνῶν τε καὶ ἐνιαυτῶν. συνεχὲς δὲ ποσόν· συνδεῖ γὰρ τὸ παρεληλυθὸς εἶναι τῷ μέλλοντι τὸ νῦν, ὅπερ ἀρχὴ μέν ἐστι τοῦ μέλλοντος, τέλος δὲ τοῦ παρεληλυθότος.

Ἐ. Πῶς οὖν ταῦτα ὁ Ἀριστοτέλης ἐξέθετο;

Ἀ. Ἐφεξῆς μὲν γραμμὴν λαβὼν καὶ ἐπιφάνειαν καὶ σῶμα, ἐπὶ τούτοις δὲ εἰπὼν ἔτι δὲ παρὰ ταῦτα χρόνος καὶ τόπος.

Ἐ. Διὰ τί οὖν οὕτως ἐξέθετο;

Ἀ. Ὅτι γραμμὴ μὲν καὶ ἐπιφάνεια ἥνωταί πως τῷ σώματι· ὅρος

---

2 αὐτῶν M: αὐτοῦ p 9 συσταίη scripsi: σταίη Mp 10 ἐπιφάνειαι M: ἐπιφάνεια p 14 σωμάτων] στιγμάτων mrg. p ἐπιφανείᾳ] ἐπιφάνεια M: ἐπιφάνειαν p 21 ἐπηκολούθησε Zp: ἐπηκολούθησται M 24 ὁ τόπος M: om. p 28 ὃν p: ὧν M 31 ἀριθμῷ M: ἀριθμοῦ p 34 ὁ Ἀριστοτέλης ταῦτα colloc. p 36 ἔστι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῶν τοιούτων Aristot.

γὰρ ἐπιφανείας πρώτως μὲν γραμμή, γραμμῆς δὲ σημεῖον, σώματος δὲ ἐπιφάνεια. ὁ δὲ τόπος οὐχ ἥνωται τῷ σώματι, ἀλλ' ἔξωθεν ἐπηκολούθησεν. καὶ ὁ χρόνος ὁμοίως οὐδεμίαν ἔχοι συνάφειαν πρὸς τὸ σῶμα.

Ἐ. Τίνα ἄλλην διαίρεσιν πεποίηται τοῦ ποσοῦ;

Ἀ. Εἰρήκαμεν ὅτι καὶ τὸ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκεν, τὸ δὲ οὐκ ἐξ ἐχόντων θέσιν.

Ἐ. Τί οὖν ἐστιν ὃ λέγει;

Ἀ. Φημὶ ὅτι εἰς ἄλλα τμήματα πάλιν τὸ ὅλον ποσὸν διαιρεῖ λέγων ὅτι τοῦ ποσοῦ τὸ μέν τι συνέστηκεν ἐκ μορίων ἐχόντων θέσιν πρὸς ἄλληλα, τὸ δὲ ἐκ μορίων οὐκ ἐχόντων θέσιν πρὸς ἄλληλα.

Ἐ. Τί οὖν τὸ μὴ ἔχειν θέσιν καὶ τὸ ἔχειν, λέγε.

Ἀ. Τρία δεῖ ἐπὶ τῶν ἐχόντων θέσιν ἐπινοῆσαι· τόπον ὅπου κεῖται τὰ μόρια, αὐτὰ τὰ μόρια μὴ ἀφανιζόμενα, συνέχειαν τῶν μορίων ἀλληλοῦχον. ὅταν δὲ τινὰ τούτων προσῇ, λείπῃ δὲ τινά, δύναται τάξιν μὲν ἔχειν, θέσιν δὲ τὴν τοῦ ποσοῦ μὴ ἔχειν. οἷον τὰ δέκα κεράμια κεῖται μέν που ἐν ἐπιπέδῳ καὶ ἔστι τὸ μὲν δεῖξαι πρῶτον, τὸ δὲ δεύτερον, καὶ ὅτι τοῦτο μὲν ἐνθάδε, τοῦτο δὲ ἐνθάδε, καὶ οὐκ ἀπόλωλε τὰ μόρια ἀλλὰ μένει. οὐ μὴν ἀλληλοῦχα τὰ μόριά ἐστιν, ὥστε τάξιν μὲν ἔχειν, θέσιν 31v δὲ οὔ. πάλιν ἐπὶ τοῦ ῥέοντος ὕδατος ἐκ κλεψύδρας ἀλληλουχούμενα μὲν τὰ μόρια, οὐκέτι μέντοι δεικνύμενα τὰ πρῶτα οὐδὲ μένοντα, ἀλλ' ἅμα τῷ προκύψαι ἐκ τοῦ τρυπήματος ἀπολλύμενα, ταῦτα τάξιν μὲν ἔχει, θέσιν δὲ οὐκ ἔχει. καὶ ἐπὶ τοῦ χρόνου· τάξιν μὲν γὰρ αὐτοῦ ἔχει τὰ μόρια, θέσιν δὲ οὐκ ἔχει, οὐδὲν γὰρ ὑπομένει τοῦ χρόνου μόριον. ἐν μὲν οὖν τοῖς διωρισμένοις ποσοῖς θέσις οὐκ ἔστι, τάξις δὲ εἴη ἄρα, ὥσπερ ἐν ἀριθμοῖς, καθὸ πρῶτον μὲν λέγομεν τὸ εἶναι τὰ δύο ἢ τὰ τρία. ἐν δὲ τοῖς τοῦ λόγου μορίοις οὐδὲ τάξις· τί γὰρ μᾶλλον ἡ $\overline{βα}$ συλλαβὴ τῆς $\overline{βη}$ ἢ τῆς $\overline{ψε}$ προτέρα; κἂν τάξιν ἔχῃ τινά, ἐὰν μὴ σὺ ὄνομα προενέγκας τάξιν ἐπιθήσῃς ταῖς συλλαβαῖς τοῦ ὀνόματος ἐοικότως τοῖς διωρισμένους ἀμφορέας συνθεῖσιν καὶ τοὺς μὲν ἐν πρώτῳ στοίχῳ θεῖσιν, τοὺς δὲ ἐν δευτέρῳ, καθάπερ παράταξίν τινα στρατιωτῶν ἐν πολέμῳ. ἐν μὲν τοῖς κατὰ τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν καὶ τὸ σῶμα καὶ τὸν τόπον θέσις τίς ἐστι καὶ κατὰ τὸ κεῖσθαί που ἕκαστον τῶν μορίων καὶ κατὰ τὸ μένειν καὶ κατὰ τὸ ἀλληλοῦχα εἶναι τὰ μέρη ἀλλήλων, κατὰ δὲ τὸν χρόνον τάξις μέν ἐστιν, θέσις δὲ οὔ, τῷ μὴ μένειν τὰ μόρια τοῦ χρόνου. ἐπὶ δὲ τοῦ ῥέοντος ποταμοῦ καὶ θαλάσσῃ μιγνυμένου ἡ ἐπιφάνεια τοῦ μίγνυσθαι μέλ-

1 πρώτως M: πρῶτος p 3 ἔχοι M: ἔχει p 5. 6 τὸ M: τὰ p Aristot. 6 αὐτοῖς Aristot. θέσιν M: om. p 8 τιμήματα M[1] (ι eras) 9 μέν τι M: μέντοι p 9. 10 τὸ M: τὰ p 17 ἀπώλλωλε M 21 τῷ p: τὸ M ἀπολύμενα M μὲν τάξιν colloc. p 22. 23 καὶ ἐπὶ—οὐκ ἔχει M: om. p 24 τοῖς M: om. p 25 πρῶτον M: πρότερον p τὸ εἶναι] corrigas τὸ ⟨ἓν⟩ εἶναι, ⟨τῶν δὲ ἄλλων πρότερα εἶναι⟩ τὰ δύο cf. Simpl. f. 35r36 ὅτι ἡ μονὰς προηγεῖται τῆς δυάδος καὶ ἡ δυὰς τῆς τριάδος καὶ ἑφεξῆς 27 ἐὰν] corrigas ὅρα, nisi defectum ante ἐὰν statuere malis μὴ M: om. p 28 an ἐπιθῇς? ἐοικότος Mp διωρισμένους p: διωρισμένοις M 29 στοίχω M: στίχω p 31 τὴν (ante γραμμὴν) M: om. p 34 ἐστιν Zp: oblitter. M τῷ p: τὸ M

λοντος καὶ πελάζοντος τῇ θαλάσσῃ θέσιν οὐκ ἔχει διὰ τὸ μὴ ἑστάναι ἀλλὰ κινεῖσθαι· οὕτω γὰρ καὶ ἡ κίνησις τῶν συνεχῶν μέν ἐστιν, οὐ μέντοι καὶ τῶν θέσιν ἐχόντων, ᾗ καὶ ὁ χρόνος ἐπιγινόμενος συνεχής ἐστι μὴ ἔχων θέσιν, ἡ δὲ κίνησις οὐ ποσόν, ποσοῦ δὲ μετέχουσα, ὡς ὕστερον δειχθήσεται. ὥστε κατὰ μὲν τὴν πρώτην διαίρεσιν πέντε μὲν ἦν συνεχῆ, γραμμή, ἐπιφάνεια, σῶμα, χρόνος, τόπος, διωρισμένα δὲ δύο, ἀριθμὸς καὶ λόγος. κατὰ δὲ τὴν δευτέραν τέσσαρα μὲν ἐκ θέσιν ἐχόντων τῶν μορίων, γραμμή, ἐπιφάνεια, σῶμα, τόπος, τρία δὲ θέσιν μὴ ἐχόντων, ἀριθμός, λόγος, χρόνος, ὧν τὰ μὲν δύο τάξιν ἔχει, ἀριθμός, χρόνος, ὁ λόγος δὲ πὼς μὲν ἔχει τάξιν, πὼς δὲ οὔ.

'Ε. Ἆρα οὖν ταῦτά ἐστιν μόνα τοῦ ποσοῦ εἴδη;

'Α. Προηγουμένως μὲν ταῦτα, κατὰ συμβεβηκὸς δὲ καὶ ἄλλα.

'Ε. Τί γάρ ἐστι τὸ προηγουμένως καὶ τί τὸ κατὰ συμβεβηκός; 32r

'Α. Προηγουμένως μὲν τὸ καθ' αὑτό τι τοιοῦτον, κατὰ συμβεβηκὸς δὲ τὸ κατ' ἄλλο. οἷον προηγουμένως μὲν ποσὰ τὰ εἰρημένα ἅπαντα, κατὰ συμβεβηκὸς δὲ οἷον τὸ λευκὸν πολὺ λέγεται, οὐ καθόσον ἐστὶν λευκόν, ἀλλ' ὅτι ἡ ἐπιφάνεια, ἐν ᾗ ἔστιν, πολλή ἐστι. καὶ ὁ ἄνθρωπος μακρὸς οὐ καθόσον ἄνθρωπος, καθόσον δὲ τὸ μῆκος αὐτοῦ τοιοῦτον.

'Ε. Εἴη ἂν οὖν καὶ αὕτη διαφορὰ τοῦ ποσοῦ;

'Α. Ναί.

'Ε. Πῶς προφερομένη;

'Α. Ὅτι τοῦ ποσοῦ τὸ μέν ἐστιν προηγουμένως, τὸ δὲ κατὰ συμβεβηκός.

'Ε. Τί τὸ προηγουμένως ποσόν;

'Α. Τὸ καθ' αὑτὸ καὶ μὴ κατ' ἄλλο, οἷον δή τι ἀριθμός, χρόνος καὶ τὰ ὅμοια.

'Ε. Τί τὸ κατὰ συμβεβηκὸς ποσόν;

'Α. Τὸ καθ' ἕτερον λεγόμενον, οἷον τὸ λευκὸν πολὺ λέγεται κατὰ τὴν ἐπιφάνειαν καὶ ὁ ἄνθρωπος μακρὸς καθόσον τὸ μῆκος. πάλιν τὸν πυρετὸν εἴποιμεν ἂν πολύν, ἐπειδὴ ἐν πολλῷ παρετάθη χρόνῳ, ὡς ἐάν γε μὴ τὸν ἐπὶ πλεῖστον παρατείνοντα εἴποι τις πολὺν ἀλλὰ τὸν σφοδρόν, οὐ κυρίως τῇ λέξει κέχρηται ὁ τοιοῦτος ποιόν τε μᾶλλον ἢ ποσὸν εἴρηκεν· τὸ γὰρ σφοδρὸν τῆς ποιότητός ἐστιν. κἂν εἴπωμεν δὲ ὅτι ὁ δεῖνα πολὺ δεδράμηκεν τὴν κίνησιν ἀναλογιζόμενοι, ὅτι ἐν πολλῷ γεγένηται χρόνῳ, ἀπὸ χρόνου πολύν φαμεν γεγενῆσθαι τὸν δρόμον.

'Ε. Τί γάρ; ἡ κίνησις οὐκ ἔστιν ποσόν;

'Α. Οὐδαμῶς· οὐδὲ γὰρ κατείλεκται ἐν τοῖς ποσοῖς.

'Ε. Πῶς οὖν πολλὴ κίνησις καὶ μακρὰ λέγεται; "κίνησις γὰρ αὕτη μεγάλη", ἔφη ὁ Θουκυδίδης.

---

7 τῶν M: om. p 8 an δ' ἐκ? 14 μὲν M: om. p καθ' αὑτὸ M 19 αὕτη Felic.: αὐτὴ Mp 29 post πάλιν add. δὲ p: om. M 31 εἴποι M: εἴπῃ p 33 εἴπομεν p 37 κατείληκται M 38 ante κίνησις distinx. M²p 39 μεγάλη] μεγίστη Thucyd. I, 1, 2

᾿Α. Οὐ καθ᾿ αὑτήν φησιν ἀλλὰ τῷ ὑπάρχειν αὐτὴν χρόνῳ. ἐπὶ δὲ τῷ χρόνῳ ὑπάρχει τὸ πολὺ καὶ τὸ ὀλίγον καὶ τὸ μακρὸν ἢ βραχὺ καὶ τὸ μέγα ἢ μικρόν. κατὰ τὸν χρόνον οὖν ἐν ᾧ ὑπάρχει ταῦτα ὄντι ποσῷ, κατὰ συμβεβηκὸς δέ, καὶ τῇ κινήσει προσεῖναι ῥηθήσεται. ἐὰν οὖν ἀποδιδῷ τις τὸ πολὺ καὶ τὸ ὀλίγον τῆς κινήσεως ἢ τῆς πράξεως, τὸ ποσὸν αὐτῆς τῷ χρόνῳ ὁριεῖ ἐνιαυσιαίαν ἢ μηνιαίαν ἢ ἄλλως ἀποδιδούς.

᾿Ε. ᾿Αλλὰ τίνα μὲν τὰ κυρίως ποσά, τίνα δὲ τὰ κατὰ συμβεβηκός, ἀποδέδωκας, τίνα τε θέσιν ἔχοντα τῶν μορίων καὶ τίνα τὰ θέσιν οὐκ ἔχοντα, ἔτι τε τίνα τὰ συνεχῆ καὶ τίνα τὰ διωρισμέναι· τὸ δὲ ἴδιον ἀφο- 32v ρίσαι χρὴ τί ἂν εἴη τοῦ ποσοῦ.

᾿Α. Φημὶ τοίνυν ὅτι ὑπάρχει τῷ ποσῷ τὸ μηθὲν ἔχειν ἐναντίον.

᾿Ε. ᾿Αλλ᾿ ἐπεὶ τὸ ἴδιον τὸ παντὶ καὶ μόνῳ προσὸν εἶναι ὀφείλει, ἐπίδειξον εἰ μηδενὶ τῶν κατειλεγμένων κυρίως ποσῶν ἔστι τι ἐναντίον.

᾿Α. Οὔτε γὰρ τῇ γραμμῇ καθόσον γραμμὴ ἔστι τι ἐναντίον.

᾿Ε. Πῶς οὖν ἡ μὲν τῆς γραμμῆς ἐστιν εὐθεῖα, ἡ δὲ κυρτή;

᾿Α. ᾿Αλλὰ τὸ εὐθὺ καὶ κυρτὸν τῇ γραμμῇ οὐ καθὸ γραμμὴ πρόσεστιν οὐδὲ καθό ἐστιν ποσόν, ἀλλὰ καθὸ ποιά ἐστιν γραμμή, τοῦτο συμβέβηκεν αὐτῇ. οὐδὲ ἡ γραμμὴ οὖν τῇ γραμμῇ ἐναντία, ἀλλ᾿ ἡ κυρτότης τῇ εὐθύτητι, οὔτε τῇ ἐπιφανείᾳ καθόσον ἐπιφάνεια ἔστι τι ἐναντίον.

᾿Ε. Πῶς οὖν ἡ μὲν μέλαινα λέγεται ἐπιφάνεια, ἡ δὲ λευκή;

᾿Α. ᾿Αλλὰ καθὸ μέλαινα καὶ καθὸ λευκή, ἐναντιώτατον, ὅτι καὶ τὸ μέλαν καὶ τὸ λευκὸν ἐναντίον, οὕτως δὲ καὶ τὸ τραχὺ καὶ τὸ λεῖον, καθὸ μέντοι ἐπιφάνεια, ἐναντίωσις οὐκ ἔσται πρὸς ἐπιφάνειαν. ὁμοίως δὲ καὶ τὸ σῶμα καθὸ σῶμα οὐκ ἔχει τι ἐναντίον.

᾿Ε. Τὸ οὖν ἀσώματον οὐκ ἐναντίον τῷ σώματι;

᾿Α. Οὐδαμῶς· τὰ γὰρ ἐναντία ὑπὸ τὸ αὐτὸ ἂν εἴη γένος, τοῦ δὲ σώματος καὶ ἀσωμάτου οὐδέν ἐστι κοινὸν γένος. ἔτι τὰ ἐναντία ἐν καταφάσει λέγεται οἷον γλυκύ, πικρόν, τὸ δὲ ἀσώματον ἐν στερήσει. ἀλλὰ μὴν οὐδὲ τῷ χρόνῳ ἔστιν τι ἐναντίον, καθὸ χρόνος ἐστίν· ἡ γὰρ νὺξ καὶ ἡμέρα εἰ ἐναντίως ἔχουσιν. ἀλλ᾿ οὐχὶ καθὸ ἐν χρόνῳ εἰσὶ τὴν ἐναντιότητα ἔχουσι, καθόσον δὲ ἡ μὲν ἡμέρα ἀήρ ἐστι πεφωτισμένος, ἡ δὲ νὺξ ἀήρ ἐστιν ἐπεσκιασμένος, ὁ δὲ ἀὴρ οὐ ποσόν, καθόσον ἀήρ, ἀλλὰ μὴν οὐδὲ τῷ λόγῳ ἔστι τι ἐναντίον, καθὸ λόγος ἐστίν.

᾿Ε. Πῶς οὖν ὁ μέν τις ἀληθὴς λέγεται, ὁ δὲ ψευδής;

᾿Α. ᾿Αλλ᾿ οὐ καθὸ σημαντικός ἐστιν εἴληπται τοῦ ποσοῦ εἶναι γένους, ἀλλὰ καθόσον ἐν προφορᾷ θεωρούμενος καταμετρεῖται μακρᾷ ἢ βραχείᾳ συλλαβῇ. κατὰ τοῦτο δὲ οὐκ ἂν ἔχοι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος οὐδέ τινα ἐναντίωσιν. ἀλλ᾿ οὐδὲ ἐν τῷ ἀριθμῷ ἔστι τι ἐναντίον. τοῖς γὰρ δύο καθὸ δύο τί ἂν εἴη ἐναντίον; ἢ τοῖς πέντε ἢ ὅλως τινὶ τῶν ἀριθμῶν; 33r

---

1 τῷ scripsi: τὸ Mp corrigas ⟨ἐν⟩ χρόνῳ 8 τε M: δὲ p, corrigas τε ⟨τὰ⟩
15 scribas ἡ μὲν γραμμή 19 οὔτε M: οὐδὲ p 22 καὶ τὸ λεῖον p: τὸ λεῖον M
23. 24 τὸ σῶμα M: τῷ σώματι p 24 ἔχει correxi ex Simpl.: ἔστι Mp τι M: om. p
32 ποσόν post ἀήρ alterum transp. p 34 τις M: om. p δὲ Zp: om. M

'Ε. Τί οὖν ἐπὶ τοῦ τόπου; ἆρα οὐδὲ ἐπὶ τοῦ τόπου ἐναντιότης θεωρεῖται ὄντος εἴδους τοῦ ποσοῦ;

'Α. Ἴσως ἐπὶ τούτου, εἴ γε τὸ ἄνω καὶ τὸ κάτω τόπου μὲν μέρη ἢ εἴδη ὑπάρχει, ἔστι δὲ ταῦτα ἐναντία ἀλλήλοις.

'Ε. Διὰ τί οὖν τὸ ἴσως ἔφης;

'Α. Ὅτι τινὲς τὸ κάτω καὶ τὸ ἄνω οὐδὲ εἶναι βούλονται τόπους ἀλλὰ σχέσεις τόπου· τὸ μὲν γὰρ ὑπὲρ κεφαλὴν ἡμῶν εἶναι ἄνω, τὸ δὲ ὑπὸ τοὺς πόδας κάτω, σφαίρας δὲ ὄντος τοῦ παντὸς μηδὲν εἶναι μήτε κάτω μήτε ἄνω καθ' αὑτό. εἰ μέντοι λάβοιμεν τὸ ἄνω καὶ τὸ κάτω οὐ καθ' ἡντιναοῦν ἄλλην διάστασιν ἀλλὰ κατὰ τὴν τοῦ παντός, ὥστε σφαιροειδοῦς ὄντος τοῦ παντὸς κάτω μὲν εἶναι τὸ πρὸς τὴν μέσην χώραν τοῦ παντός, ἄνω δὲ τὰ ἀπὸ τοῦ μέσου πρὸς τὰ πέρατα, ἐναντίον ἂν εἴη τὸ ἄνω τῷ κάτω διὰ τὸ πλείστην τῷ μέσῳ διάστασιν πρὸς τὴν ἔξω εἶναι ἐπιφάνειαν, ὡς ἐν κύκλῳ καὶ σφαίρᾳ πρὸς τὰ πέρατα· ἐν γὰρ ταύτῃ καὶ τὸ ἄνω μόνως ἄνω ἐστὶ καὶ τὸ κάτω μόνως κάτω, ἐν δὲ ταῖς ἄλλαις διαστάσεσιν, ἐφ' ὃ τὸ ἄνω καὶ τὸ κάτω λέγεται, πρὸς ἕτερον καὶ ἕτερον λαμβανόμενον τὸ αὐτὸ καὶ ἄνω καὶ κάτω εἶναι δοκεῖ. διὸ ἐκεῖνα καθ' αὑτὰ ὄντα ὡς τόπου διαφοραὶ καὶ ποσὰ τὸ ἄνω καὶ τὸ κάτω ἐναντίωσιν ἐπιδέχοιτο ἄν, ὥστε εἶναι περὶ μόνον τὸν τόπον ἐν τῷ ποσῷ ἐναντιότητα. ὅτι δὲ ἐν τῷ τόπῳ ἐναντιότης, ἐοίκασιν δηλοῦν καὶ οἱ τὰ ἐναντία ὁρισάμενοι τὰ πλεῖστον ἀλλήλων διεστηκότα· ἀπὸ γὰρ τῆς κατὰ τὸν τόπον ἐν τῷ ἄνω καὶ κάτω ἐναντιώσεως ἐοίκασι τὸν ὁρισμὸν εἰληφέναι· τὸ γὰρ διεστηκέναι πρώτως ἐν τόπῳ ἐστίν· ὥστε ἐν μόνῳ τῷ τόπῳ εἴη ἂν ἡ ἐναντίωσις.

'Ε. Ἀλλὰ πῶς ὁ Ἑρμῖνος ἀπήντηκεν;

'Α. Λέγων ὅτι τὸ ἄνω καὶ τὸ κάτω οὐ τόπον σημαίνει ἀλλὰ ποῦ, ὥσπερ οὐδὲ τὸ χθὲς οὐδὲ τὸ αὔριον χρόνον ἀλλὰ ποτέ· ἔστι δὲ ὡς τὸ ποτὲ κατὰ χρόνον, οὕτως καὶ τὸ ποῦ κατὰ τόπον· ἕτερον δὲ ποσοῦ εἶναί τι, ἕτερον δὲ τὸ ποσόν. ἀλλὰ καὶ ὁ Ἑρμῖνος οὕτως ἀφῄρει τοῦ ποσοῦ τὴν ἐναντίωσιν.

'Ε. Ἆρα οὖν ἐν τοῖς ἄλλοις ποσοῖς οὐκ ἂν εἴη ἐναντίωσις;

'Α. Ἐν μὲν τοῖς ὡρισμένοις οὐδαμῶς, ἐν δὲ τοῖς ἀορίστοις ποσοῖς δόξειεν ἂν εἶναι ἐναντίωσιν.

'Ε. Τίνα οὖν ἐστι τὰ ἀόριστα ποσά;

'Α. Τὰ οὕτω ἐκφερόμενα οἷον πολὺ ἢ ὀλίγον, μέγα ἢ μικρόν· ποσὸν γάρ τι ὂν πολὺ ἢ ὀλίγον ἐστὶ καὶ μέγα ἢ μικρόν.

---

2 εἴδους scripsi: εἶδος Mp   3 καὶ τὸ κάτω p: τω κάτω M (ὁ supra τω)   4 δὲ ταῦτα refecit M^3
6 τὸ ἄνω καὶ τὸ κάτω οὐδὲ βούλονται εἶναι colloc. p   8 σφαίρας p: σφαῖρα M
11 τὴν πρὸς τὸ μέσον χώραν Aristot.   20 τῷ supra scr. M   23 τῷ Zp: τὸ M
25. 29 ἑρμῖνος Zp: ἑρμῆνος M (utrobique)   26 ante λέγων distinxi secundum Felic.: prioribus contin. M^2p   29 ἀλλὰ καὶ ὁ Ἑρμῖνος] *atque ita quidem Herminus* Felic.: an ἀλλὰ καὶ ὁ Ἀνδρόνικος? (cf. Simpl. f. 36r41)   32 ὁρισμένοις M   33 ἐναντίωσις p (fort. recte)

Ε. Ἆρα οὖν ποσὰ ταῦτα κυρίως;

Α. Οὐ πάνυ τι δόξει.

Ε. Διὰ τί;

Α. Οὐδὲ γὰρ σημαίνει ποσόν, ἀλλὰ μᾶλλον πρός τι ἂν εἴη.

Ε. Τί οὖν; ἐναντία ἐστὶ ταῦτα;

Α. Οὐδαμῶς, ἀλλὰ ἀντίκειται μὲν ἀλλήλοις, ἀντίκειται δὲ οὐχ ὡς τὰ ἐναντία ἀλλ' ὡς τὰ πρός τι, ὥστε κἂν τῶν πρός τι ᾖ, οὐκ ἔστιν ἐναντία ἀλλὰ ἀντικείμενα.

Ε. Πῶς τοῦτο ἔφης;

Α. Ὅτι τῶν ἀντικειμένων τὰ μὲν ἀντίκειται ὡς κατάφασις καὶ ἀπόφασις, τὰ δὲ ὡς στέρησις καὶ ἕξις, τὰ δὲ ὡς τὰ πρός τι, τὰ δὲ ὡς ἐναντία. ὥστε τὰ πρός τι ἀντικείμενα μέν ἐστιν, ἐναντία δὲ οὔ.

Ε. Ἆρα οὖν τῶν πρός τί ἐστι τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον;

Α. Οὐ μόνον τῶν πρός τι, ἀλλὰ καὶ ἁπλῶς σημαίνει ποσὸν ἀόριστον ἕκαστον τούτων· διχῶς γὰρ λέγεται τὸ μέγα καὶ διχῶς τὸ μικρὸν καὶ ὁμοίως τὸ πολὺ καὶ ὀλίγον, τὸ μὲν ἁπλῶς, τὸ δὲ τῶν πρός τι.

Ε. Τὰ ἁπλῶς σημαινόμενα ποσὰ ποταπὰ εἶναι λέγεις;

Α. Ἀόριστα.

Ε. Διὰ τί ἀόριστα;

Α. Ὅτι οὐκ ἔστιν λαβεῖν τὸ μέγα πόσῳ μέγα, οὐδὲ τὸ μικρὸν πόσῳ μικρόν. εὐθὺς οὖν φέρεται ἡ διάνοια ἐπί τι μικρόν, ὅταν εἴπῃ μέγα, ἵνα διανοηθῇ, πόσῳ τὸ μέγα ῥηθέν ἐστιν.

Ε. Διὰ τί οὖν οὐ πρός τι μόνον αὐτὰ λέγεις, ἀλλὰ καὶ ἁπλῶς ποσόν;

Α. Ὅτι ἐκ πρώτης ποσὸν μᾶλλον. καὶ οὕτως λέγεται μέγα καὶ μικρὸν καὶ πλέον καὶ ἔλαττον, τὸ δὲ μέγα καὶ μικρὸν καὶ τὸ πολὺ καὶ ὀλίγον ἐμφαίνει τὸ ἁπλῶς καὶ μὴ κατὰ τὴν πρὸς ἄλληλα σχέσιν οὕτως λέγεσθαι, ἐμφαίνει δὲ καὶ τὸ πρὸς ἄλλο. διὸ δύο σημαίνεσθαι ἐξ αὐτῶν ἔφαμεν καὶ ἀπόλυτον καὶ πρός τι.

Ε. Ἆρα οὖν ὁ Ἀριστοτέλης τῶν δύο σημαινομένων ἐμνήσθη;

Α. Οὐδαμῶς.

Ε. Ἀλλὰ τίνος; 34r

Α. Τοῦ κατὰ τὸ πρός τι μόνον ἀπ' αὐτοῦ λαμβανομένου, ὃ καὶ πειρᾶται διὰ πλειόνων ἐπιδεῖξαι.

Ε. Τίς οὖν πρῶτος λόγος εἰς τὴν τούτου ἀπόδειξιν λαμβάνεται;

Α. Ὁ ἐκ τῆς ἐπαγωγῆς· οὐδὲν γὰρ αὐτὸ καθ' αὑτὸ μέγα λέγεται ἢ μικρόν, ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, ὡς παραστήσει ἡ ἐπαγωγή· οἷον ὄρος μικρὸν λέγεται καίτοι ἁπλῶς οὕτως οὐκ ὂν μικρόν, ἀλλὰ δῆλον τὸ

2 τι M: τοι p 12 μὲν M: om. p 15 post ἀλλὰ incertum quid oblitter. (γὰρ vel γε coni. Vitelli) M 17 ὀλίγον M: τὸ ὀλίγον p 22 εἴπῃ M: εἴπῃ τις Zp: hoc aut εἴπῃς reponas 23 πόσῳ—ἐστιν scripsi: ποσῶ—εἶναι Mp 26 πλέον καὶ ἔλαττον] corrigas πολὺ καὶ ὀλίγον τὸ (ante πολὺ) M: om. p 27 ἐμφαίνει iter. M 36 γὰρ Zp: oblitter. M αὐτὸ M: om. p λέγεται μέγα colloc. p

πρὸς ἕτερον ὁμογενὲς αὐτὸ μεῖζον γίνεσθαι τὴν ἀναφοράν. καὶ πάλιν ἡ κέγχρος πάντων οὖσα μικροτέρα ὅμως λέγεται μεγάλη, δηλονότι ἀναφερομένη πρὸς ἄλλην κέγχρον.

'Ε. Τί οὖν τοῦτο πρὸς ἀπόδειξιν ποιεῖ τοῦ τὸ μέγα καὶ τὸ μικρὸν λέγεσθαι κατὰ τὸ πρός τι;

'Α. Ὅτι εἴπερ ταὐτὸν ἑκάτερον καθ' ἑαυτὸ ἐλέγετο καὶ μὴ πρὸς ἄλλο τι τῶν ὁμογενῶν ἡ ἀναφορὰ ἐγίνετο αὐτῶν, οὐκ ἂν τὸ μὲν ὄρος μικρὸν ἐλέγετο, ἡ δὲ κέγχρος μεγάλη.

'Ε. Πῶς οὖν ἂν εἴποις συντόμως τοῦτο καὶ συλλογιστικῶς;

'Α. Οὕτως· τὸ ποσὸν οὐ λέγεται πρὸς ἕτερον οἷον τὸ δίπηχυ, τρίπηχυ, ἡ ἐπιφάνεια καὶ τὰ ἄλλα, τὸ δὲ μέγα καὶ τὸ μικρὸν ἑτέρου λέγεται. οὐκ ἄρα ἔστι τὸ μέγα καὶ τὸ μικρὸν ποσά. πάλιν ἄλλως· τὸ ποσὸν καθ' ἑαυτὸ λέγεται, ὃ δείκνυται τῇ ἐπαγωγῇ, τὸ δὲ μέγα καὶ τὸ μικρὸν καθ' ἑαυτὸ οὐ λέγεται, οὐκ ἄρα τὸ μέγα καὶ τὸ μικρόν ἐστι ποσά.

'Ε. Ὅτι μὲν οὖν τὸ μέγα καὶ τὸ μικρὸν οὐ ποσὰ ἀλλὰ πρός τι, ἀπέδειξας. δεῖξον δὲ ὅτι μὴ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον ποσὰ ἀλλὰ πρός τι.

'Α. Ἐν μὲν γὰρ ταῖς Ἀθήναις εἰ τύχοι τρισχιλίων ὄντων ἀνθρώπων φαμὲν ὀλίγους εἶναι, ἐν δὲ τῇ κώμῃ κἂν ὦσιν τριακόσιοι, λέγομεν πολλοί εἰσιν, καίτοι πολλαπλασίων ὄντων Ἀθήναζε. καὶ ἐν μὲν τῇ οἰκίᾳ οἱ πεντακόσιοι πολλοί, ἐν δὲ τῇ πόλει κἂν πολλαπλάσιοι τούτων ὦσιν, ὀλίγοι λέγονται. πρὸς ἕτερον οὖν ἡ ἀναφορὰ τοῦ πολλοῦ καὶ ὀλίγου λέγεται. καὶ ἄλλο ἐπιχείρημα· τὸ μὲν δίπηχυ καὶ τρίπηχυ καὶ τὰ δύο καὶ πέντε ποσὸν 34v
ἕκαστον σημαίνει, τὸ δὲ πολὺ καὶ τὸ ὀλίγον οὐκ εἰσὶν τοῦ ποσοῦ δηλωτικά· ἐκ γὰρ τοῦ φάναι πολὺ ἢ ὀλίγον οὐ σημαίνεται ἀριθμός, ὡσαύτως δὲ οὐκ ἂν εἴπωμεν μέγα ἢ μικρόν, οὐ δηλοῦται διωρισμένον τι ποσόν. οὐκ ἄρα ποσὰ ταῦτα.

'Ε. Ἆρα οὖν καὶ ἄλλο ἐπάγεις εἰς τὸ αὐτὸ *;

'Α. Ἐπάγω.

'Ε. Ποῖον τοῦτο;

'Α. Τῷ γλυκεῖ τὸ πικρὸν ἐναντίον ὂν καθ' ἑαυτὸ λέγεται καὶ νοεῖται· κἂν γὰρ μὴ ᾖ πικρόν, νοεῖται τὸ γλυκὺ καθ' ἑαυτό, κἂν μὴ ᾖ γλυκύ, νοεῖται τὸ πικρὸν καθ' αὑτό. ὁμοίως δὲ καὶ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὸ ψυχρὸν καὶ τὸ θερμὸν πάντα ταῦτα ἐναντίωσιν ἐπιδεχόμενα πάντως καθ' ἑαυτὰ νοεῖται πρότερον. τὸ δὲ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον οὐκ ἔστι καθ' ἑαυτὰ πρῶτον εἰπεῖν, ἀλλὰ ἀνάγκη συνεπινοεῖσθαι αὐτῶν ἑκάστῳ, πρὸς ὃ τὴν ἀναφορὰν ἔχει· τότε γὰρ μέγα οὐκ ἔστιν οὔτε εἰπεῖν οὔτε νοῆσαι μὴ οὐχὶ ἀνενεγκόντα ἐπί τι ἕτερον, πρὸς ὃ ἀποβλέπων

1 αὐτὸ] corrigas αὐτοῦ 2 κέχρος M (ubique) 4 τοῦ τὸ] τοῦτο Mp τὸ μικρὸν M: μικρὸν p 6 εἴπερ Zp: εἴ— oblitter. M 9 ἂν M: om. p 13 τὸ μικρὸν M: μικρὸν p 18 λέγωμεν M 18. 19 an πολλούς εἶναι? 19 Ἀθήναζαι M 25 οὐ (alterum) M: om. p 27 καὶ M: om. p post αὐτὸ habet πρός τι Zp: oblitter. M: scribas ἐπιχείρημα (cf. p. 110,6) 33 ἐπιδεχόμενα M: δεχόμενα p 36 ἑκαστω M: ἕκαστον p 37 εἰπεῖν Zp: oblitter. M ἀποβλέπων] ἀποβλέπων τις Zp: ἀπο— (ceteris oblitter.) M

μέγα φήσει τις εἶναι αὐτό. ὁμοίως δὲ καὶ τὰ λοιπὰ τὰ τρία· τί γὰρ ὁριστόν ἐστι νοῆσαι ἐκ τοῦ ἀκοῦσαι μέγα ἢ μικρὸν ἢ πολὺ ἢ ὀλίγον, οὐκ ἔστιν εἰπεῖν. εἰ τοίνυν τὰ μὲν ἔχοντα ἐναντιότητα καθ' ἑαυτὰ πρώτως λέγεται, τὰ δὲ τέτταρα τὰ εἰρημένα οὐκ ἔστιν εἰπεῖν πρώτως καθ' ἑαυτά, οὐκ ἂν ἐπιδέχοιτο ἐναντιότητα.

'Ε. Ἔτι ἄλλο ἐπιχείρημα ποῖον ἔχεις εἰπεῖν;

'Α. Τοῦτο· εἰ ἔσται τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, ἐπειδὴ πρὸς τὸ μεῖζον ἐν τούτοις ἀφορίσαι μικρὸν ἂν δόξειεν εἶναι τὸ ἕτερον, πρὸς δὲ τὸ ἔλαττον πάλιν μέγα. καὶ τοῦτό γε κατὰ τὸν αὐτὸν καιρὸν συμβαίνει, συμβήσεται αὐτὸ ἑαυτῷ ἐναντιοῦσθαι. οὐκ ἄρα τὸ μέγα καὶ τὸ μικρόν εἰσιν ἐναντία. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τοῦ πολλοῦ καὶ ὀλίγου. ἀλλ' εἰ μήτε ἐν τούτοις ἐναντίωσις μήτε ἐν τῷ τόπῳ, ὥς τισιν ἐδόκει, οὐκ ἔσται δήπου ἐν τῷ ποσῷ ἐναντίον.

'Ε. Ἆρα οὖν διὰ τοῦτο ἴδιον τοῦ ποσοῦ τοῦτο;

'Α. Οὐδαμῶς· οὐδὲ γὰρ ἐπὶ τῆς οὐσίας ἐδείχθη ἐναντίωσις, καὶ ἐπὶ τινῶν δὲ τῶν τοῦ ποιοῦ δειχθήσεται μὴ προσοῦσα ἐναντίωσις, ὥστε οὐκ ἴδιον τοῦ ποσοῦ τοῦτο, κἂν παντὶ ποσῷ μηδὲν ᾖ ἐναντίον.

'Ε. Εἰπὲ τοίνυν εἰ καὶ ἄλλο τι αὐτῷ πρόσεστιν.

'Α. Φημὶ δὴ ὅτι οὐ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται τὸ ποσόν. τοῦτο δὲ δῆλον ἐπιοῦσι τὰ κατὰ μέρος· γραμμή τε γὰρ γραμμῆς καθὸ γραμμὴ οὐκ ἔστιν μᾶλλον γραμμὴ οὐδὲ ἐπιφάνεια ἐπιφανείας οὐκ ἔστιν μᾶλλον ἢ ἧττον ἐπιφάνεια, οὐδὲ σῶμα ἢ σῶμα οὐδὲ τόπος ἢ τόπος οὐδὲ ἀριθμὸς ἢ ἀριθμὸς οὐδὲ μὴν χρόνος ἢ χρόνος. ἀφ' ὧν δὴ δῆλον ὅτι οὐκ ἐπιδέχεται τὸ ποσὸν τὸ μᾶλλον καὶ τὸ ἧττον.

'Ε. Ἆρα οὖν ἴδιον τοῦ ποσοῦ τοῦτο;

'Α. Οὐδαμῶς. οὐ γὰρ ὑπάρχει αὐτῷ μόνῳ, εἰ καὶ παντί· ἐδείχθη γὰρ ὅτι καὶ ἡ οὐσία οὐδὲν μᾶλλόν ἐστιν ἑτέρα ἑτέρας οὐσία.

'Ε. Τί οὖν ἴδιον τοῦ ποσοῦ ἂν εἴη;

'Α. Τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι· γραμμή τε γὰρ γραμμῇ ἢ ἴση ἢ ἄνισός ἐστι καὶ σῶμα σώματι καὶ ἐπιφάνεια ἐπιφανείᾳ.

'Ε. Ὅταν οὖν λέγῃ τις ἐπὶ λευκοῦ, ὅτι τόδε τῷδε ἴσον, πῶς λέγει;

'Α. Οὐ κυρίως ἀλλὰ καταχρώμενος ἀντὶ τοῦ ὅμοιον.

'Ε. Πῶς δὲ ὁ ἄνθρωπος ἀνθρώπῳ λέγεται ἴσος καὶ πύργος πύργῳ, οὐκ ὄντα ποσά;

'Α. Κατὰ συμβεβηκός.

1 φήσει τις M: φήσει Zp   τί Zp: oblitter. M   2 ὁριστὸν scripsi: *praefinitum* Felic.: ὁρισμὸν Mp   7 ἔσται M: ἔστι p   καὶ Zp: om. M   ἐπειδὴ Zp: oblitter. M   8 ἐν τούτοις] an εἴ τίς τι?   ἀφορίσαι p: ἀφορῆσαι M   10 εἰσιν M: om. p   12 ἐν (ante τούτοις) M: om. p   13 ἐν τῷ ποσῷ M: om. p   15 οὐδὲ M: οὔτε p   18 τι M: om. p   αὐτῷ p: αὐτὸ M   20 ἐπιοῦσα M   21 an μᾶλλον ἢ ἧττον?   22 οὐδὲ M: οὔτε p   27 ἐστιν M: om. p   ἑτέρα ἑτέρας οὐσία p: ἑτέρα ἑτέρα οὐσίας M   29. 30 γραμμῇ et ἐπιφανείᾳ scripsi: γραμμῆς et ἐπιφανείας Mp   30 σώματι M: σώματος p   31 τῷδε M: τοῦδε p   32 οὐ κυρίως Zp: οὐδαμῶς (supra scr. κυρίως) M   καταχρώμενος ἀντὶ τοῦ ὅμοιον p: καταχρωμέν||||| ἀνόμιον M: καταχρωμένου ἀνόμοιον Z   33 ὁ Zp: oblitter. M   34 ποσά (sed —σά oblitter.) M: om. Zp

'Ε. Πῶς κατὰ συμβεβηκός;

'Α. Οὐχ ὅτι οὐσία ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει. ποσὰ γάρ ἐστιν περὶ τὴν ἡμετέραν οὐσίαν πρῶτα αἱ καλούμεναι διαστάσεις. αὗται δέ εἰσιν μῆκος, πλάτος, βάθος.

'Ε. Μετὰ τὸ ποσὸν τίς ἐστι τρίτη κατηγορία τῇ τάξει;

[Περὶ τῶν πρός τι].

'Α. Ἡ τῶν πρός τι.

'Ε. Διὰ τί μᾶλλον μὴ τὸ ποιόν;

'Α. Ὅτι προϋφεστηκότος μήκους, πλάτους, βάθους ἐπιγίνεται τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἅπερ ἐστὶν πρός τι.

'Ε. Διὰ τί μετὰ τὸ ποσὸν εὐθὺς τὰς τῶν πρός τι ἐπήγαγεν;

'Α. Καὶ διὰ ταύτην μὲν τὴν αἰτίαν, καὶ διότι ἐμνήσθη τῶν πρός τι ἐν τῷ ποσῷ. ἔδει οὖν εἰς τὸ εὐσύνοπτα γενέσθαι πῶς εἴρηται καὶ τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον διδάξαι εὐθύς, τίνα ποτέ ἐστι τὰ πρός τι.

'Ε. Τίνα οὖν ποτέ ἐστι τὰ πρός τι;

'Α. Ὅρον μὲν αὐτῶν γενικώτατον οὐκ ἔστιν ποιήσασθαι, ὡς οὐδ' ἐπὶ τῶν ἄλλων, τὴν δὲ ἐπίνοιαν ἔστιν συλλαβόντας ἀποδοῦναι, ὃ πεποίηκεν καὶ Ἀριστοτέλης εἰπὼν πρός τι εἶναι ταῦτα, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον.

'Ε. Τί οὖν διὰ ταύτης τῆς ἀποδόσεως παραστῆσαι βούλεται;

'Α. Πρῶτον μὲν ὅτι ἐπὶ πλήθους λέγεται τὰ πρός τι ὡσανεὶ τινῶν ὄντων πρός τι, ἑνὸς δὲ οὔ. ἀλλὰ καὶ τοῦ ἑνὸς τῶν πρός τι ὄντος οὐ μὴν τοῦτο πρός τι ὀρθῶς ἂν ῥηθείη. ὥσπερ οὖν οὐκ ἂν εἴποις τοῦ πρὸς ἄλληλα ἀλλὰ τῶν πρὸς ἄλληλα, οὕτως οὐ τοῦ πρός τι ἀλλὰ τῶν πρός τι. δι' ἣν αἰτίαν καὶ περὶ οὐσίας καὶ περὶ ποσοῦ ἑνικῶς εἶπεν, περὶ δὲ τῶν πρός τι πληθυντικῶς ἔφη· πρός τι δὲ τὰ τοιαῦτα λέγεται. ἔπειτα ἡ ἐκκειμένη ὑπογραφὴ Πλατωνικὴ εἶναι λέγεται, ἣν καὶ παρελθὼν διορθοῦται.

'Ε. Τί οὖν παρίστησιν; καὶ τί βούλεται ἡ προσθήκη ἡ προκειμένη ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον ἔχει;

'Α. Λέγω ὅτι τῷ τὰ μὲν πρός τι λέγεσθαι φάναι εἶναι ἐκεῖνα, ὅσα

2 ἐστιν] an εἰσιν? 3 πρῶτα scripsi: πρῶ|||||| M: πρώτως Zp 5 μετὰ τὸ M: μετὰ δὲ τὸ p τρίτη M: om. p 6 tit. inclusi 7 ἡ M: om. p 9 μήκους M: τοῦ μήκους p 10 ἅπερ M: ὅπερ p 11 διὰ τί M: διότι p τὰς M: ἐμνήσθη p: corrigas τὴν ἐπήγαγεν] ἐπίγαγεν oblitter. refecit M³: om. in lac. Zp 14 καὶ τὸ (primum) oblitter. refecit M³: om. in lac. Zp 16 τίνα M: τί p 17 γενικώτατον] corrigas γενικωτάτων ὄντων (cf p. 87,18) 18 τὴν δὲ oblitter. refecit M³: τὴν μὲν Zp 20 λέγεται M: λέγονται p 26 περὶ ποσοῦ καὶ περὶ οὐσίας colloc. p 28 πλατονικὴ M (cf. Soph. 255,D) 30 τί (ante βούλεται) M: om. p 31 ἔχει M: om. p 32 λέγω oblitter. refecit M³: λέγει Zp τῷ p: τὸ M εἶναι post ἑτέρων (p. 112,1) transponas

αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεται, παρίστησιν ὅτι οὐκ ἔστιν ἀπόλυτα τὰ πρός τι ἀλλ' ἐν σχέσει τινὸς πρὸς ἄλλο τι, καὶ ὅτι τινὰ μὲν ἑτέρων λέγεται κατὰ πτῶσιν τὴν αὐτὴν ἄμφω, τινὰ δὲ καθ' ἑτέραν καὶ ἑτέραν, τινὰ δὲ οὐ κατὰ πτῶσιν.

'Ε. Ἑξῆς δὲ τί προσέθηκεν;

'Α. Ὁπωσοῦν ἄλλως πρὸς ἕτερον ἔχει.

'Ε. Σαφῆ ποίησον ἃ λέγεις διὰ παραδειγμάτων.

'Α. Κατὰ πτῶσιν μὲν τὴν αὐτὴν λέγεται τῶν πρός τι τὰ τοιαῦτα· πατὴρ υἱοῦ πατήρ, υἱὸς πατρὸς υἱός· ἀφ' οὗ τε γὰρ ἡ σχέσις, κατ' ὀρθὴν εἴρηται πτῶσιν, καὶ πρὸς ὅν, κατὰ γενικήν. καὶ πάλιν δοῦλος μὲν κατ' εὐθεῖαν, δεσπότου δὲ κατὰ γενικήν. ταῦτα μὲν κατὰ τὰς πτώσεις ἐξισάζει· αἴσθησις δὲ αἰσθητοῦ αἴσθησις. εὐθείας μὲν τὸ ἀφ' οὗ, γενικῆς δὲ τὸ πρὸς ὅ, τὸ δὲ αἰσθητὸν αἰσθήσει αἰσθητόν, εὐθείας μὲν τὸ αἰσθητόν, πρὸς ὃ δὲ λέγεται, αἰσθήσει, κατὰ δοτικὴν πτῶσιν καὶ οὐ κατὰ γενικήν. ἐνήλλακται οὖν τὰ τῶν πτώσεων ἐνταῦθα. τὸ μέγα δὲ ὡς μὲν πρὸς τὸ μικρὸν λέγεται, οὐκέτι μέντοι ἂν ῥηθείη μικροῦ μέγα, οὐδὲ τὸ μικρὸν μεγάλου μικρόν, ἀλλ' εἰ μὲν ἐπινοίᾳ ἐπινοεῖται, κατ' ἐκφορὰν δὲ οὐκέτι πτωτικὴν τοιαύτην τάδε προφέρεται. ταῦτα οὖν ὁπωσοῦν ἄλλως πρὸς ἕτερον ἔχει, οὐ μὴν κατ' ἐκφορὰν ἢ ὡς πτῶσις ἀνὰ λόγον τοῖς ἄλλοις ἐκφέρεται. πάντα δὲ ταῦτα ἅπερ ἐστὶν οὐ καθ' αὑτὰ λέγεται ἀλλ' ἑτέρων τινῶν.

'Ε. Τίνα οὖν παραδείγματα ὁ Ἀριστοτέλης κεκόμικεν;

'Α. Τὸ μεῖζον ἐλάττονος μεῖζον καὶ τὸ ἔλαττον μείζονος ἔλαττον, ἔτι δὲ καὶ τὸ διπλάσιον ἡμίσεως διπλάσιον καὶ ἥμισυ διπλασίονος ἥμισυ, ἔτι φησὶν ἕξις, διάθεσις, αἴσθησις, ἐπιστήμη· πάντα γὰρ τὰ εἰρημένα ταῦτα ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. οὐκέτι τοίνυν καὶ κατὰ τὴν αὐτὴν πτῶσιν ἀντιστρέφει ἀλλήλοις· ἐπιστήμη μὲν γὰρ ἐπιστητοῦ ἐπιστήμη καὶ αἴσθησις αἰσθητοῦ αἴσθησις, οὐκέτι δὲ τὸ ἐπιστητὸν ἐπιστήμης ἐπιστητὸν οὐδὲ τὸ αἰσθητὸν αἰσθήσεως αἰσθητόν, ἀλλ' ἐπιστήμῃ ἐπιστητὸν καὶ αἰσθήσει αἰσθητόν. ὡσαύτως δὲ καὶ ἡ μὲν ἕξις ἑκτοῦ ἕξις, τὸ δὲ ἑκτὸν ἕξει ἑκτόν, καὶ ἡ θέσις θετοῦ θέσις, τὸ δὲ θετὸν θέσει θετόν. ταῦτα μὲν ἄρα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται.

'Ε. Τῶν δὲ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον λεγομένων τίνα ἐπάγει παραδείγματα;

'Α. Αὐτὸς φανερὸν πεποίηκεν· προσθεὶς γὰρ ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον, ἐπάγει ὄρος μέγα λέγεται· πρὸς γὰρ τὸ μικρὸν ὄρος λέγεται μέγα. ἀλλ' οὐχὶ καὶ τῇ πτώσει· οὐ γὰρ λέγεται τὸ μέγα μικροῦ

1 λέγεται p: λέγεσθαι M 5. 6 Ἑξῆς—ἔχει ante Τί οὖν παρίστησιν (p. 111,30) transponas. 6 an ⟨ἢ⟩ ὁπωσοῦν? ἔχει M: om. p 7 σαφῆ ποίησον ἃ] σαφῆ ποίησον ὃ M: σαφὲς ποίησον ὃ p 9 πατήρ, υἱὸς M: om. p 10. 11 καὶ πάλιν—γενικήν aut insitiva aut mutila 16 ἂν Zp: oblitter. M οὐδὲ M: οὔτε p 17 εἰ μὲν ἐπινοίᾳ] εἰ μὲν ἐπίνοια M: ἡ μὲν ἐπίνοια p 25 post ἐπιστήμη addas θέσις (cf. v. 31) 26 ταῦτα ἅπερ ἐστὶν p: τοῦτο ὅπερ εἰσὶν M: an ταῦτα ⟨αὐτὰ⟩ ἅπερ ἐστὶν? 29 ἐπιστήμῃ Zp: ἐπιστήσει M 36 ὄρος Zp: ὅρος M (ubique)

μέγα οὐδὲ τὸ μικρὸν μεγάλου μικρόν, ἀλλὰ τὸ μεῖζον μικροτέρου μεῖζον καὶ τὸ μικρότερον μείζονος μικρότερον.

'Ε. Τῶν δὲ τῇ αὐτῇ χρωμένων πτώσει τίς διαφορά;

'Α. Ὅτι τὰ μὲν καὶ τῷ αὐτῷ ὀνόματι χρῆται, τὰ δὲ ἑτέρῳ.

'Ε. Τίνα οὖν ἐστιν, ἃ τῷ αὐτῷ ὀνόματι χρῆται;

'Α. Οἷον τὸ ὅμοιον, τὸ ἴσον, τὸ ἀνόμοιον, τὸ ἄνισον· ὅμοιον γὰρ τόδε τῷδε καὶ τὸ ἕτερον τῷ ἑτέρῳ ἀνόμοιόν τε, ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων.

'Ε. Τίνα δὲ τῇ μὲν αὐτῇ πτώσει, οὐ τῷ αὐτῷ δὲ ὀνόματι;

'Α. Οἷον τὰ τοιαῦτα· πατὴρ υἱοῦ πατήρ, υἱὸς δὲ πατρὸς υἱός. 36 v

* * * ἡ θέσις καὶ τὰ εἴδη τῆς θέσεως τῶν πρός τι· καὶ τὸ θετὸν θέσει θετόν. εἰ δὲ ἡ θέσις τῶν πρός τι, θετοῦ γὰρ θέσις ἡ θέσις ἂν εἴη.

'Ε. Τίνα οὖν εἴδη θέσεως;

'Α. Ἀνάκλισις, στάσις, καθέδρα· ἀνάκλισίς τε γὰρ ἀνακειμένου ἐστὶν ἀνάκλισις καὶ ὁ ἀνακείμενος ἀνακλίσει ἐστὶν ἀνακείμενος, ἥ τε στάσις ἑστῶτός ἐστι στάσις καὶ ὁ ἑστὼς στάσει ἐστὶν ἑστώς, ἥ τε καθέδρα τοῦ καθημένου ἐστὶ καθέδρα καὶ ὁ καθήμενος καθέδρᾳ ἐστὶ καθήμενος.

'Ε. Ἆρα οὖν ἐπειδὴ ἡ ἀνάκλισις τῶν πρός τι καὶ ἡ στάσις καὶ ἡ καθέδρα, καὶ τὸ ἀνακεῖσθαι ἢ ἑστάναι ἢ καθῆσθαι τῶν πρός τι ἂν εἴη;

'Α. Οὐδαμῶς.

'Ε. Διὰ τί;

'Α. Ὅτι ἡ μὲν θέσις καὶ τὰ εἴδη τῆς θέσεως ἦν πρός τι, ταῦτα δὲ οὔτε θέσεις ἐστὶν οὔτε εἴδη ἐστὶν θέσεως ἀλλὰ παρώνυμα ἀπὸ τῶν εἰρημένων θέσεων. οὐδὲν δὲ τῶν παρωνύμων ταὐτόν ἐστι τῷ ἀφ' οὗ παρωνόμασται· οὔτε γὰρ γραμματικὸς ταὐτὸν τῇ γραμματικῇ ἥ τε γυνὴ ὅταν ἀπὸ τῆς γραμματικῆς γραμματικὴ ῥηθείη, οὐκ ἔστι παρώνυμον.

'Ε. Τί οὖν ἐρεῖς τὸ καθέζεσθαι καὶ πῶς ἔχειν πρὸς τὸν καθήμενον;

'Α. Λέγω ὅτι συμβέβηκεν μὲν αὐτῷ, οὐ μὴν ἐπεὶ συμβέβηκεν τοῦτο τῶν πρός τι ἂν εἴη.

'Ε. Ὥσπερ τοίνυν ἐπὶ τῆς οὐσίας καὶ τοῦ ποσοῦ ζητῶν τὸ ἴδιον πρῶτον ἐζήτησας, τὸ ἔχειν ἐναντίον ἢ μὴ ἔχειν εἰ ἴδιον αὐτῶν, ἔστιν καὶ ζητήσας ἀπέδειξας ὅτι μὴ ἦν ἴδιον αὐτῶν τὸ μὴ ἔχειν ἐναντίον, οὕτως καὶ ἐπὶ τῶν πρός τι ζήτησον, μὴ ἴδιον αὐτῶν τὸ ἔχειν ἐναντίον ἢ τὸ μὴ ἔχειν.

---

3 τίς διαφορά p: τῇ διαφορᾷ M 6 τὸ ἴσον M: καὶ ἴσον p τὸ (ante ἄνισον) Zp: oblitter. M 9 δὲ M: om. p 10 ante ἡ θέσις defectum significavi; supplenda haec fere· 'Ε. Τέλος δὲ τίνα ἐπάγει παραδείγματα; 'Α. Τὰ εἴδη τῆς θέσεως· καὶ γὰρ 10. 11 θετοῦ γὰρ θέσις ἡ θέσις ἂν εἴη ante καὶ τὸ θετὸν transponas et post τῶν πρός τι addas καὶ τὰ εἴδη τῆς θέσεως τῶν πρός τι (cf. Simpl. f. 42v22) 11 θετοῦ (sed τοῦ oblitter. m[3] refecit.) M: θέσεως p 13 ἀνάκλησις M[1] 14 ἀνάκλισις—ἀνακλίσει ἐστὶν iter. M ἥτε M[2]: εἴτε M[1]: ἡ δὲ p 18 καθεῖσθαι M 21 ἦν M: ἐστὶ p an ⟨τῶν⟩ πρός τι? 22 θέσεις Zp Simpl.: θέσις M θέσεως M: θέσεων p 23 τῷ] τὸ M[1] (corr. m[3]) 27 μὲν M: om. p 29 ζητῶν Zp: ζητῶ M 30 αὐτῶν M: αὐτῷ p 31 ἀπέδειξας Felic.: ἀπέδειξα Mp τὸ μὴ ἔχειν M: τὸ ἔχειν p post ἐναντίον add. ἢ τὸ μὴ ἔχειν p: om. M

'Α. Φημὶ τοίνυν ὅτι ἐν τοῖς πρός τί ἐστιν ἐναντιότης.

'Ε. Ἐπίδειξον.

'Α. Οἷον ἡ ἀρετὴ τῇ κακίᾳ ἐναντίον ἐστίν, ἡ δὲ ἀρετὴ καὶ ἡ κακία ἕξις, πᾶσα δὲ ἕξις εἴρηται ὅτι τῶν πρός τι καθό τινος ἕξις. ἀλλὰ μὴν ἡ ἀρετὴ καὶ ἡ κακία ἕξεις εἰσίν· τῶν πρός τι δὴ ἂν εἴη ἡ ἀρετὴ καὶ ἡ κακία· ἥ τε γὰρ ἀρετή τινός ἐστιν ἕξις ἥ τε κακία.

'Ε. Ἀλλὰ πῶς προελθὼν ποιότητα λέγει τὴν ἀρετὴν καὶ τὴν κακίαν;

'Α. * * * ὅτε προελθὼν τὰς ἕξεις ἐρεῖ ποιότητας· τὸ αὐτὸ γὰρ πρᾶγμα 37r κατ' ἄλλο καὶ ἄλλο οὐδὲν κωλύεται εἰς πλείους κατηγορίας ἀνάγεσθαι. ὥσπερ . . . . ἡ ποιότης καθὸ μὲν ποιοὺς παρέχει τοὺς μετέχοντάς τι αὐτῆς, τῆς τοῦ ποιοῦ ἂν εἴη κατηγορίας, καθὸ δέ τινός ἐστι ποιότης (ποιοῦ γὰρ ποιότης ἡ ποιότης) τῶν πρός τι ἂν εἴη. ἄνευ δὲ ἑτέρας κατηγορίας οὐκ ἔστιν ἐπινοῆσαί τι τῶν πρός τι καθ' ἑαυτό, ⟨διότι⟩ ἐὰν μὲν ἐπὶ κατηγορίας ὀφθῇ ἐπιδεχομένης ἐναντίωσιν * * *, ἐὰν δὲ ἐπὶ κατηγορίας μὴ ἐπιδεχομένης, οὐδὲ αὐτὸ δέχεται, οἷον ἐπὶ τῆς ποιότητος, ἐπιδέχεται γὰρ ἐναντίωσιν, ποιότης γὰρ οὖσα ἡ ἀρετὴ ἐναντία ἐστὶ τῇ κακίᾳ· καὶ τῶν πρός τι ἄρα τὸ κατ' ἀρετὴν καὶ κακίαν ἐναντίωσιν ἔχει. ἡ δέ γε οὐσία καθὸ οὐσία οὐκ ἐπιδέχεται ἐναντίωσιν· Σωκράτης δὲ καὶ ὅλως οὐσία ὑπόκειται τῷ πατρὶ ἢ υἱῷ καὶ τῷ δεσπότῃ καὶ τῷ δούλῳ· ὥστε οὐδὲ τὰ τοιαῦτα τῶν πρός τι οὐκ ἐπιδέχεται ἐναντίωσιν. οὐδὲ τὸ διπλάσιον οὖν, ᾧ ὑπόκειται ποσόν, ἐναντίωσιν οὐκ ἐπιδέχεται· τί γὰρ δύο πρὸς ἓν ἢ τέσσαρα πρὸς δύο ἐναντίον; οὐδὲ τὸ ἥμισυ. ὅθεν οὐκ ἂν ἴδιον εἴη τῶν πρός τι τὸ ἐπιδέχεσθαι ἐναντίωσιν.

'Ε. Διὰ τί;

'Α. Ὅτι οὔτε πᾶσιν ὑπάρχει οὔτε μόνοις.

'Ε. Τί οὖν; τὸ μᾶλλον καὶ τὸ ἧττον ἆρά γε τὰ τῶν πρός τι ἐπιδέχεται;

'Α. Ἐπιδέχεται μέν, ἀλλ' οὐ πάντα.

'Ε. Πῶς οὖν ἐπιδέχεται;

'Α. Ὅμοιον γὰρ μᾶλλον λέγομεν τόδε τῷδε, τὸ δὲ ὅμοιον καὶ τὸ ἴσον ἐλέγετο τῶν πρός τι εἶναι.

'Ε. Καὶ πῶς, εἰ τὸ ποσὸν μὲν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τὸ δὲ ἴσον καὶ τὸ ἄνισον ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἴδιον ἂν εἴη τοῦ ποσοῦ τὸ ἴσον καὶ τὸ ἄνισον;

4 ἕξις (sic ubique) paene oblitter. M: τῶν πρός τι Zp: an ἕξεις? 4. 6 ἀλλὰ — ἥ τε κακία eicias ἀλλὰ μὴν M: ἀλλ' εἰ οὖν p 5 εἰσιν p: ἐστὶ M 5. 6 ἡ κακία Zp: oblitter. M 7 προελθὼν scripsi: πρὸ...ὼν M: om. in lac. Zp λέγει M: λέγων p τὴν (ante κακίαν) supra scr. M 8 ante ὅτε supplenda sunt velut 'Α. αὐτὰς δηλώσει τοῦτο 10 ante ποιότης VI litterae, ex quibus altera ἐ et sexta ἡ constant, oblitter. M: om. p: φέρε ἡ coni. Diels 10 αὐτῆς] αὐτῆς M: om. p 11 ποιοῦ Zp: oblitter. M 13 ἑαυτό p: ἑαυτά M διότι inserui: lac. IV vel V litter. Mp 14 post ἐναντίωσιν defectum significavi, inseras δέχεται καὶ αὐτὸ ἐναντίωσιν δὲ Zp: oblitter. M 18 πατρὶ Zp: oblitter. M 18. 19 καὶ τῷ (ante δούλῳ) M: ἢ p (fort. recte) 19 τῶν Zp: oblitter. M οὐκ M: om. p 20 οὐδὲ M: οὔτε p ᾧ ὑπόκειται Zp: ᾧ ὑπό— oblitter. M 21 οὐκ M: om. p 29 post γὰρ add. καὶ ἴσον p: om. M Simpl., quare potius καὶ τὸ ἴσον inducas 32 ante ἴδιον distinx. M²p

Ἀ. Ὅτι τὸ μὲν ποσὸν ᾗ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, τὰ δὲ συμβεβηκότα τῷ ποσῷ ἐπιδέχοιντ' ἂν τὸ μᾶλλον καὶ ἧττον. ὥσπερ καὶ ἡ οὐσία οὐκ ἐπιδέχεται ἐναντίωσιν, συμβέβηκε δὲ τῇ οὐσίᾳ τῶν ἐναντίων ἀνὰ μέρος εἶναι δεκτικήν. καὶ ἐνταῦθα οὖν ἄλλο μὲν ποσόν, ἄλλο δὲ τὸ ἴδιον τοῦ ποσοῦ. ἔστι γὰρ τὸ ἴδιον ποιότης ⟨καὶ⟩ πάθος οὐσιῶδες τοῦ ποσοῦ· αἱ δὲ ποιότητες καὶ τὰ πάθη ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ 37v ἧττον· ἐπιδέχοιτο ⁎ ἂν καὶ τὸ ἴσον καὶ τὸ ἄνισον τὸ μᾶλλον καὶ ἧττον, καίτοι τοῦ ποσοῦ μὴ ἐπιδεχομένου.

Ἐ. Ἀλλ' εἰ πάθη ποσοῦ τὸ ἴσον καὶ τὸ ἄνισον, πῶς ἂν εἴη τῶν πρός τι τὸ ἴσον;

Ἀ. Ὅτι τὸ ἴσον ἴσῳ λέγεται ἴσον καὶ τὸ ἄνισον ἀνίσῳ ἄνισον· αὐτὰ γὰρ ἅ ἐστι τὸ ἴσον καὶ τὸ ἄνισον ἑτέρου λέγεται.

Ἐ. Ἆρα οὖν πάντα τὰ ὑπὸ τὰ πρός τι ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον;

Ἀ. Οὐδαμῶς· οὔτε γὰρ τὸ διπλάσιον ῥηθείη ἂν μᾶλλόν τινος διπλάσιον ἢ ἧττον οὔτε τὸ ἥμισυ ῥηθείη ἂν μᾶλλον ἢ ἧττόν τινος ἥμισυ.

Ἐ. Τί οὖν τοῖς πρός τι ὑπάρχει ἴδιον, καθόσον εἰσὶν πρός τι.

Ἀ. Τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι.

Ἐ. Τί ἐστι τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι;

Ἀ. † Τὰ πρὸς ἃ λέγεται τὰ πρῶτα, ὁμοίως καὶ τὰ δεύτερα λέγεσθαι πρὸς τὰ πρῶτα. οἷον εἰρήσθω ὁ πατὴρ πρῶτος, ὁ δὲ υἱὸς δεύτερος, καὶ ἔστω ὁ πατὴρ υἱοῦ πατήρ· οὐκοῦν ἀντιστρέψωμεν καὶ τὸν υἱὸν προτάξωμεν, καὶ ἔστι καὶ ὁ υἱὸς πατρὸς υἱός.

Ἐ. Ἆρα οὖν πάντα οὕτως ἔχει;

Ἀ. Πάντα μὲν κατ' ἐπίνοιαν, οὐ πάντα δὲ κατ' ἐκφώνησιν. ἀλλὰ τὰ μὲν κατὰ τὰς αὐτὰς πτώσεις ἔχει ἀντιστρέφοντα τοῖς πρώτοις λεγομένοις, ὡς ὁ πατὴρ υἱοῦ πατήρ καὶ ὁ υἱὸς πατρὸς υἱός· ἐπ' ἀμφοῖν γὰρ πρὸς γενικὴν πτῶσιν γέγονεν ἡ προφορά. τὰ δὲ οὐ πρὸς τὰς αὐτὰς πτώσεις, ὡς ἤδη ἔδειξεν· αἴσθησις μὲν γὰρ αἰσθητοῦ αἴσθησις πρὸς γενικὴν ἐρρέθη πτῶσιν, τὸ δὲ αἰσθητὸν αἰσθήσει αἰσθητὸν πρὸς δοτικὴν τὸ ἀντιστρέφον συνετάχθη. τινὰ δὲ κατ' ἐκφορὰν οὐκ ἐπιδέχεται, πρὸς ὃ λέγεται. οὐ λέγομεν γὰρ μέγα μικροῦ μέγα οὐδὲ μικρὸν μεγάλου μικρόν. ταῦτα δὲ εἴρηται πρότερον.

1 Ὅτι τὸ Simpl. ὅτὰν M: ὅταν p   ποσὸν ᾗ ποσὸν M: ἡ ποσὸν p   οὐκ M: om. p   1. 2 ἧττον M: τὸ ἧττον p (utrobique)   2 ἐπιδέχοιντ' M: ἐπιδέχοιτ' p   4 ἀνὰ μέρος p: ἀνάμερον M   5 καὶ inserui: III litter. oblitter. M: om. p   7 post ἐπιδέχοιτο inseras οὖν vel ἄρα   τὸ (ante ἄνισον) M: om. p   7. 14 ἧττον M: τὸ ἧττον p (utrobique)   9 εἰ Zp: oblitter. M   10 τὸ ἴσον Zp: oblitter. M, post ἴσον addas καὶ τὸ ἄνισον   11 post ἀνίσῳ add. λέγεται p: om. M   αὐτὰ Zp: oblitter. M   12 ἅ ἐστι M: om. p   13 τὰ Zp: oblitter. M   15 οὔτε γὰρ Zp: οὔτε γ— oblitter. M   19 Τί ἐστι — λέγεσθαι M: om. p   20 τὰ πρὸς ἃ Zp: τὰ πρὸς (ἃ oblitt.) M: corrigas τὸ ⟨ὡς⟩ πρὸς τὰ ⟨δεύτερα⟩   21 τὰ Zp: oblitter. M   22 υἱοῦ M: τοῦ υἱοῦ p   23 ἔστι M: ἔστω p   26 ἀντιστρέφοντα Zp: —στρέφοντα oblitter. M   32 μέγα (prius) p: om. M   33 εἴρηται πρότερον] cf. p. 112,37 sq.

Ἐ. Ἆρα οὖν τοῦτο ἁπλῶς καὶ ὡς ἔτυχεν γένοιτ' ἄν;

Ἀ. Οὐδαμῶς.

Ἐ. Ἀλλὰ τί δεῖ παραφυλάττειν;

Ἀ. Τὸ οἰκείως ποιεῖσθαι τὴν ἀπόδοσιν, πρὸς ὃ ἂν ἀποδοθῇ.

Ἐ. Τί δὲ τοῦτό ἐστιν;

Ἀ. Οἷον τὸ πτερὸν ἂν εἴπωμεν ὄρνιθος εἶναι πτερόν, ὑγιῶς μὲν 30
λέγομεν, οἰκείως δὲ οὔ. διὸ οὐκ ἀντιστρέφει· οὐκέτι γὰρ λέγομεν ὄρνις πτεροῦ. αἴτιον δὲ οὐ τὸ ἀντιστρέφειν, ἀλλὰ τὸ τὸ πρῶτον οἰκείως μὴ ἀπο- 38r
δεδόσθαι· τὸ γὰρ πτερὸν οὐ καθὸ ὄρνιθός ἐστι λέγεται πτερόν, ἀλλὰ καθὸ πτερωτοῦ. διὸ ἂν οὕτως ἀποδιδῷς τὸ πτερὸν πτερωτοῦ πτερόν, ἀντιστρέφει· καὶ γὰρ καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν· πολλῶν γὰρ καὶ ἄλλων ἔστι 5
πτερά, ἃ οὐκ ἔστιν ὄρνιθες, μελισσῶν, σφηκῶν, ἀκρίδων, τεττίγων καὶ μυρίων ἄλλων.

Ἐ. Ἆρα οὖν ἐπὶ πάντων εὑρήσομεν ὀνόματα ἐν τῇ συνηθείᾳ, πρὸς ἃ ποιησόμεθα τὴν τῶν πρός τι ἀπόδοσιν;

Ἀ. Οὐ πάντων.

Ἐ. Τί οὖν;

Ἀ. Ἐφ' ὧν οὐκ ἔστιν, εὑρήσομεν αὐτοί, φησίν, καὶ πλάσομεν οἰκεῖα ὀνόματα. 10

Ἐ. Πῶς οὖν πλάσομεν;

Ἀ. Ἀπὸ τῶν πρώτων ποιήσομεν τὰ δεύτερα ὀνοματοποιοῦντες. οἷόν ἐστι κεφαλὴ λεγομένη, ἀλλ' αὐτὴ ἐὰν ἀποδοθῇ ζῴου κεφαλή, σφαλησόμεθα· πολλὰ γάρ ἐστι ζῷα, ἃ μὴ ἔχει κεφαλήν, ὡς ὄστρεα, καρκίνοι καὶ τὰ παραπλήσια. ἐὰν οὖν ἀποδῶμεν ἡ κεφαλὴ ζῴου κεφαλή, οὐχ ὑγιὲς τὸ ἀντι- 15
στρέφον καὶ φάναι τὸ ζῷον κεφαλῇ ζῷον διὰ τὸ πολλὰ εἶναι ἀκέφαλα ζῷα.

Ἐ. Πῶς οὖν ποιήσομεν;

Ἀ. Ἀπὸ τῆς κεφαλῆς παρώνυμον ποιήσομεν κεφαλωτόν· καὶ οὕτως ἀντιστρέφει· κεφαλὴ γὰρ κεφαλωτοῦ κεφαλὴ καὶ τὸ κεφαλωτὸν κεφαλῇ κεφαλωτόν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πηδαλίου· τὸ μὲν γὰρ εἰπεῖν πηδάλιον 20
πλοίου πηδάλιον οὐκ ἐπὶ πάντων ἁρμόσει διὰ τὸ εἶναι πολλὰ πλοῖα, ἃ μὴ πηδαλίῳ εὐθύνεται, ὥσπερ τὰ μικρὰ καὶ ὑπὸ ἐρετῶν ἐλαυνόμενα μόνως. διὸ οὐκ ἀντιστρέφει· οὐ γὰρ ὑγιὲς φάναι πλοῖον πηδαλίῳ πλοῖον. ἐὰν δὲ ἀπὸ τοῦ πηδαλίου παρώνυμον ποιήσωμεν ὄνομα οἷον πηδαλιωτόν, ὑγιῶς ἐροῦμεν οἷον πηδάλιον πηδαλιωτοῦ πηδάλιον καὶ ἀντιστρέψομεν πηδαλιω- 25
τὸν πηδαλίῳ πηδαλιωτόν.

Ἐ. Οὐχ ἁπλῶς οὖν ῥητέον, ὅτι πάντα τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, ἀλλὰ τί προσθετέον;

Ἀ. Τὸ ἐὰν οἰκείως ἀποδίδωται.

---

6 ὑγειῶς M 8 τὸ (alterum) supra scr. M: om. p οἰκείως iter. M 10 ἀποδιδῷς M: ἀποδιδῷ p πτερὸν (prius) Zp: πτερωτὸν M 12 ante μελισσῶν add. οἷον p: om. M σφικῶν M τεττίγων M: om. p 16 οὐ πάντων M: οὐδαμῶς p 18. 20 εὑρήσωμεν —πλάσωμεν (utrobique) — ποιήσωμεν M 22 an αὕτη? 27 τῆς M: om. p ποιήσομεν] ποιήσωμεν M: om. p 33 ὑγειῶς M

'Ε. Τί ἄλλο πρὸς τοῦτο τεκμήριον ἔφη;

'Α. Ὅτι ἐὰν μὴ οἰκείως ἡ ἀπόδοσις γένηται μηδὲ πρὸς αὐτὸ ⟨ὃ⟩ λέγεται, οὐκ ἀντιστρέφει, οὐδὲ ⟨ἐπὶ⟩ τῶν ὁμολογουμένως πρὸς ἀντιστρέφοντα λεγομένων καὶ ὀνόματα ἐχόντων κείμενα, ὡς ὁ δοῦλος καὶ ὁ δεσπότης· 38v δούλου γὰρ δεσπότης· ἐὰν δέ τις μὴ πρὸς δεσπότην λάβῃ τὸν δοῦλον λέγεσθαι ἀλλὰ πρὸς ἄλλον, ἢ πρὸς δίποδα ἢ ὁτιοῦν τῶν τοιούτων, οὐκ ἀντιστρέφει· λεγέσθω γὰρ ὁ δοῦλος ἀνθρώπου δοῦλος, ἀλλ' οὐκέτι ἄνθρωπος δούλου ἄνθρωπος ῥηθήσεται.

'Ε. Ποῖον ἄλλο ἔτι πρὸς τοῦτο κομίσαις ἂν τεκμήριον;

'Α. Ὅτι ἐὰν μὲν οἰκείως ᾖ ἀποδεδομένον πρὸς ὃ λέγεται, πάντων περιαιρουμένων τῶν ἄλλων ὅσα συμβεβηκότα ἐστίν, λειπομένου δὲ τούτου μόνου πρὸς ὃ ἀπεδόθη, ἀεὶ πρὸς αὐτὸ ῥηθήσεται. οἷον ὁ δοῦλος πρὸς δεσπότην λέγεται· ἐὰν τοίνυν περιέλῃς τὸ δίπουν, τὸ ἐπιστήμης δεκτικόν, τὸ θνητόν, τὸ ἄνθρωπον, μένῃ δὲ τὸ δεσπότην εἶναι, ἀεὶ ὁ δοῦλος πρὸς δεσπότην ῥηθήσεται. καὶ ἔμπαλιν ἐὰν μὲν τηρήσῃς πάντα, περιέλῃς δὲ τὸ δεσπότην, περιεῖλες καὶ τὸ δοῦλον εἶναι, κἂν ἄνθρωπος ᾖ, κἂν δίπους, κἂν ζῷον λογικὸν θνητόν· δεσπότου γὰρ μὴ ὄντος πρὸς οὐδὲν τῶν μεινάντων δοῦλος οἰκείως ῥηθήσεται. ὡσαύτως καὶ ἐπὶ ὄρνιθος ἐὰν περιαιρεθῇ τὸ εἶναι πτερωτόν, οὐδὲ τὸ πτερὸν ἔσται τῶν πρός τι μὴ ὄντος πτερωτοῦ ἐν τοῖς πράγμασιν.

'Ε. Τί οὖν ἐκ τούτου συμβήσεταί σοι;

'Α. Ὅτι δεῖ μὲν ἀποδιδόναι, πρὸς ἃ δήποτε οἰκείως λέγεται, ἀλλ' ἐὰν μὲν ᾖ ὄνομα κείμενον, τῷ κειμένῳ χρῆσθαι, μὴ ὄντος δὲ ὀνοματοποιεῖν αὐτόν· οὕτω γὰρ ἀποδιδομένων φανερὸν ὅτι πάντα πρὸς ἀντιστρέφοντα ῥηθήσεται.

'Ε. Διὰ τί οὖν τοῦτο συμβαίνει;

'Α. Ὅτι τὰ ἀντιστρέφοντα δεῖ ἐξ ἴσου εἶναι καὶ μήτε πλεονάζειν θάτερον μήτε ἐλλείπειν. ὅταν μὲν οὖν θάτερον πλεονάζῃ ὡς τὸ πτερὸν ὄρνιθος, θάτερον δὲ ἐλλείπῃ ὡς τὸ πηδάλιον τοῦ πλοίου, ἀμήχανον ἀντιστρέψαι ταῦτα, ἂν μὴ τὸ ἐπίσης αὐτὰ ἔχειν ἢ εὑρὼν τὸ ἐπίσης ὄνομα ἢ ποιήσας παράσχῃς.

'Ε. Ἀλλ' ἐπεὶ τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι ἀπέδειξας εἶναι τῶν πρός τι, ἐάνπέρ τις οἰκείως ἀποδιδῷ πρὸς ἃ λέγεται τὰ πρός τι, τί ἄλλο ἴδιον τῶν πρός τι ἂν εἴη;

'Α. Τὸ ἅμα τῇ φύσει λέγεσθαι. 39r

'Ε. Δίδαξον ἡμᾶς τοῦτο.

1 τοῦτο M: τούτῳ p 2 ὃ inserui: om. Mp λέγεται M: λέγηται p 3 οὐκ M Simpl. f. 47r48: οὐδὲν p Aristot. ἐπὶ Simpl.: om. Mp ὁμολογουμένως Pp Aristot. Simpl.: ὁμολογουμένων AC: ultimae II litt. oblitt. M 5 post δεσπότης inseras καὶ δεσπότου δοῦλος, cf. Simpl. f. 47r47 ἢ γὰρ δοῦλος δεσπότου ἐστίν, καὶ ἡ δεσπότου δοῦλος 10 ἀποδεδωμένον M 14 μένῃ p: μένει M ἀεὶ Zp: oblitt. M 15 μὲν M: om. p τηρήσῃς p: τηρήσεις Z: oblitter. M 18 περιερεθῇ M 22 ἃ M: οἷα p 24 πάντα post ἀντιστρέφοντα transp. p 28 θάτερον (prius) M: om. p 32 τῶν M: om. p

'Α. Αὐτὸς μὲν προϊὼν ἰδίᾳ περὶ τῶν ἅμα ποιήσεται διδασκαλίαν καὶ ποσαχῶς λέγεται παραστήσει. ἓν δὲ τῶν ἅμα ἐστὶ καὶ τὰ τῇ φύσει ἅμα εἶναι λεγόμενα, ἃ δὴ καὶ τοῖς πρός τί φησι προσεῖναι.

'Ε. Τίνα οὖν ἐστὶ ταῦτα ἃ φῂς εἶναι ἅμα;

'Α. Τὰ συνεισάγοντά τε ἄλληλα καὶ συναναιροῦντα· ὅταν γάρ τινα ἅμα συνεισάγῃ ἄλληλα ἢ συναναιρῇ, ἅμα ἂν εἴη ταῦτα.

'Ε. Λέγε σαφέστερον ὃ λέγεις.

'Α. Οἷον ὁ πατὴρ σὺν τῷ υἱῷ ἐστι πατήρ· σὺν τούτῳ γὰρ ἔχει τὸ εἶναι πατήρ, καὶ τότε γίνεταί τις πατήρ, ὅτε καὶ υἱός τις αὐτῷ γίνεται. συνεισάγει οὖν ὁ μὲν πατὴρ ἑαυτῷ υἱόν, ὁ δὲ υἱὸς ἑαυτῷ πατέρα. καὶ πάλιν υἱοῦ μὴ ὄντος οὐκ ἔστι πατήρ, οὐδὲ πατρὸς μὴ ὄντος υἱὸς οὐκ ἂν εἴη. οὐκοῦν ἐπειδὴ ὁ πατὴρ καὶ ὁ υἱὸς συνεισάγουσιν ἀλλήλους καὶ ἀναιρεθέντος θατέρου καὶ θάτερον ἀναιρεῖται, ἅμα ἂν εἴη τὰ τοιαῦτα φύσει. δοκεῖ δὲ τὰ πρός τι τοιαῦτα εἶναι πάντα εἰσάγειν τε ἄλληλα ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεται καὶ ἀναιρεῖν ὁμοίως ἄλληλα. τοιαῦτα μὲν δὴ τὰ ἅμα τῇ φύσει.

'Ε. Ἀλλ' ἐπειδὴ ἀναγκαῖον ἡμᾶς μαθεῖν, τίνα μὲν πρότερα καὶ τίνα ὕστερα, ἀφ' ὧν ἔξω τὰ ἅμα ἂν εἴη, λέγε τίνα μὲν τὰ πρότερα, τίνα δὲ τὰ ὕστερα.

'Α. Ἀλλ' ἐρεῖ μὲν καὶ περὶ τούτων ὁ Ἀριστοτέλης μετὰ ταῦτα. λεγέσθω δὲ καὶ νῦν, ἐπειδὴ καὶ τούτοις χρῆσθαι μέλλει ἐν τῇ θεωρίᾳ τῶν πρός τι.

'Ε. Εἰπὲ τοίνυν, τίνα αὐτῶν πρότερα καὶ τίνα ὕστερα.

'Α. Εἰσὶν μὲν καὶ τῶν προτέρων καὶ τῶν ὑστέρων πολλαὶ διαφοραί· πολλαχῶς γὰρ καὶ ταῦτα λέγεται. ὁ δὲ νῦν ζητούμενος τρόπος ἐκεῖνος ἂν εἴη· λέγομεν γὰρ πρότερον ὃ συναναιρεῖ μέν, οὐ συναναρεῖται δέ, οἷον ἡ μονὰς τῆς δυάδος ἐστὶ προτέρα· μονὰς μὲν γὰρ ἀναιρεθεῖσα ἀναιρεῖ τὴν δυάδα, δυὰς δὲ ἀναιρεθεῖσα οὐκ ἀναιρεῖ τὴν μονάδα. ἐπεὶ οὖν ἡ μονὰς συναναιρεῖ μέν, οὐ συναναιρεῖται δέ, προτέρα ἂν εἴη ἡ μονὰς τῆς δυάδος. κατὰ μὲν οὖν τὴν ἀναίρεσιν πρότερον τὸ ἀναιροῦν τοῦ μὴ συναναιροῦντος. 39v
κατὰ δὲ τὸ εἶναι οὗ ὄντος ἐξ ἀνάγκης τι εἶναι ἔμπαλιν οὗ ὄντος οὐκ ἀνάγκη τι εἶναι ὕστερον τὸ οὗ ὄντος ἐξ ἀνάγκης εἶναί τι· δυάδος γὰρ οὔσης ἀνάγκη μονάδα εἶναι, μονάδος δὲ οὔσης οὐκ ἀνάγκη δυάδα εἶναι· ὑστέρα ἄρα ἡ δυὰς τῆς μονάδος. εἰ τοίνυν δυοῖν ὄντοιν θατέρου μὲν ὄντος οὐκ ἀνάγκη θάτερον εἶναι, θατέρου δὲ ὄντος ἀνάγκη θάτερον εἶναι, οἷον ἐπὶ οὐσίας καὶ συμβεβηκότος· συμβεβηκότος γὰρ ὄντος ἀνάγκη οὐσίαν εἶναι, οὐσίας δὲ οὔσης οὐκ ἀνάγκη συμβεβηκὸς εἶναι· προτέρα ἄρα ἡ οὐσία τοῦ συμβε-

1 διδασκαλίαν M: τὴν διδασκαλίαν p 4 ἃ supra scr. M 6 ἅμα prius fort. eicias συνεισάγῃ M: συνάγῃ p 8 ὁ M: om. p 11 υἱοῦ p: οὗ Z: oblitter. M 13 θατέρου Zp: oblitter. M 14 ὅσα Zp: oblitter. M 15 post ἑτέρων add. εἶναι Zp: om. M 17 πρότερα καὶ τίνα ὕστερα M: τὰ πρότερα, τίνα δὲ τὰ ὕστερα p 21 τούτοις Zp: oblitter. M 30 ἀναιροῦν] corrigas συναναιροῦν συναναιροῦντος M: ἀναιροῦντος p 31 τι εἶναι] an τι ἔστιν? an ἔμπαλιν τοῦ οὗ ὄντος? 32 εἶναί τι] an ἔστι τι?

βηκότος. ὥστε ἔμπαλιν ἔχει ἡ ἀναίρεσις πρὸς τὴν ὕπαρξιν· τὸ μὲν γὰρ συναναιροῦν καὶ μὴ συναναιρούμενον πρότερον, τὸ δὲ συνεισάγον καὶ μὴ συνεισαγόμενον ὕστερον ἐξ ἀνάγκης.

'Ε. Ἆρα οὖν πάντα τὰ πρός τι ἅμα τῇ φύσει;

'Α. Κατὰ ἀλήθειαν μὲν πάντα, δοκεῖ δέ τισιν μὴ πάντα, ἐξ ὧν ὁ Ἀριστοτέλης κατὰ τὸ ἔνδοξον κατασκευάζει.

'Ε. Εἰπὲ σαφέστερον, τί λέγεις.

'Α. Ὁ Ἀριστοτέλης τῶν πρός τι τιθεὶς εἶναι τὴν ἐπιστήμην (ἔστιν γὰρ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν) καὶ ἐπὶ τῆς αἰσθήσεως οὔσης καὶ αὐτῆς τῶν πρός τι (ἔστιν γὰρ ἡ αἴσθησις αἰσθητοῦ αἴσθησις καὶ τὸ αἰσθητόν αἰσθήσει αἰσθητόν)· κειμένων οὖν τῶν πρός τι εἶναι τὴν ἐπιστήμην καὶ τὴν αἴσθησίν φησιν μήτε τὴν ἐπιστήμην ἅμα τῷ ἐπιστητῷ εἶναι μήτε τὴν αἴσθησιν ἅμα τῷ αἰσθητῷ πάντως. εἰ γὰρ ἅμα ἦν τὰ συνεισάγοντα ἄλληλα καὶ συναναιροῦντα, οὔτε δὲ τὸ αἰσθητὸν συνεισάγει τὴν αἴσθησιν οὔτε τὸ ἐπιστητὸν τὴν ἐπιστήμην οὔτε † ἀναιρουμένη ἡ ἐπιστήμη ἢ ἡ αἴσθησις ἀνῄρηται τὸ ἐπιστητὸν ἢ τὸ αἰσθητόν, οὐκ ἂν εἴη ἄρα ἅμα οὔτε τὸ αἰσθητὸν τῇ αἰσθήσει οὔτε τὸ ἐπιστητὸν τῇ ἐπιστήμῃ.

'Ε. Ἀλλ' εἰ μὴ ἅμα, τί ἂν εἴη ἐπ' αὐτοῖς;

'Α. Ὅτι τὰ μὲν πρότερα, τὰ δὲ ὕστερα.

'Ε. Δεῖξον οὖν, πῶς οὐχ ἅμα.

'Α. Ἴσως γὰρ δῆλον ἔσται, τινὰ μὲν πρότερα, τινὰ δὲ ὕστερα αὐτῶν, δι' ὃ ἀνάγκη μὴ εἶναι αὐτὰ ἅμα. τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητὸν, ἐὰν ἀναιρεθῇ ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις, ὅμως μένει, τοῦ δὲ αἰσθητοῦ καὶ 40r ἐπιστητοῦ ἀναιρεθέντος οὔτε ἡ αἴσθησις, οὔτε ἡ ἐπιστήμη μένει. ὥστε οὐχ ἅμα διὰ τοῦτο τὸ αἰσθητὸν καὶ ἡ αἴσθησις καὶ ἡ ἐπιστήμη καὶ τὸ ἐπιστητόν, ἀλλὰ πρότερον μὲν τὸ αἰσθητὸν αἰσθήσεως καὶ τὸ ἐπιστητὸν ἐπιστήμης.

'Ε. Πῶς οὖν ἐπιστήμης μὴ οὔσης εἴη ἂν τὸ ἐπιστητόν, καὶ αἰσθήσεως μὴ οὔσης εἴη ἂν τὸ αἰσθητόν, καὶ ἔμπαλιν ὄντος ἐπιστητοῦ καὶ αἰσθητοῦ οὐ πάντως ἂν εἴη ἐπιστήμη καὶ αἴσθησις, δεῖξον.

'Α. Λέγω ὅτι ὅτε κομιδῇ βρέφη ἐτυγχάνομεν ὄντες, οὐδεμίαν ἐπιστήμην εἴχομεν οὐδενός· τὰ δὲ ἐπιστητὰ ἀδύνατον μὴ εἶναι ἀεί· οὐδὲ γὰρ ἂν ἐλάβομεν μαθόντες καὶ παιδευθέντες ἐπιστήμην, εἰ μὴ ἦν αὐτά. ἀλλὰ μὴν καὶ εἴ τις φθείρειεν τὰ ζῷα, ὥσπερ φασὶν οἱ ἀπὸ τῆς στοᾶς ἐν τῇ ἐκπυρώσει γίνεσθαι, αἴσθησις μὲν οὐκ ἔστιν ζῴου μὴ ὄντος, αἰσθητὸν μέντοι ἔσται· τὸ γὰρ πῦρ ἔσται. ὡμολόγηται δὲ καὶ τὰ μαθήματα ὅτι ὀψὲ εἰς

1 ἔχει Zp: oblitter. M 11 corrigas κειμένου οὖν τοῦ τῶν 14 τὰ Zp: oblitter. M 16 ἀναιρουμένης τῆς ἐπιστήμης ἢ τῆς αἰθήσεως vertit Felic.: hoc aut συναναιρεῖ pro ἀνῄρηται scribas 19 αὐτοῖς Zp: —τοῖς oblitter. M 22 μὲν Zp: om. M 23 ὃ scripsi: οὗ Zp: oblitter. M an τὸ ⟨γὰρ⟩ αἰσθητὸν? ἐὰν Zp: oblitter. M 24 ὅμως M: ὃ μὲν p 27 μὲν M: om. p 30 καὶ αἰσθητοῦ Zp: αἰσθητὸς M 34 ἐλάβωμεν M ἐπιστήμην M: ἐπιστήμη p ἦν M: ἂν p 36 ζῴου μὴ ὄντος M: om. p

τοὺς Ἕλληνας ἦλθεν, οἷον ἡ γεωμετρία καὶ ἡ ἀριθμητικὴ καὶ ἡ ἀστρονομία· ἀλλ' ὅμως ἦν ἐπιστητά, καίπερ τῶν Ἑλλήνων αὐτὰ μὴ ἐπισταμένων.

'Ε. Ἂν δὲ καὶ μηδενὸς φιλοπονεῖν ἐθέλοντος ἀπόληται γεωμετρία, ἆρα διὰ τοῦτο οὐκ ἔστι τὰ γεωμετρικά;

'Α. Οὐδαμῶς· ἐπεὶ καὶ ἐν τῇ μουσικῇ τὸ μὲν πάλαι τοῦ διεσιαίου διαστήματος ἤκουον οἱ μουσικοί, ὕστερον δὲ ἀμεληθείσης τῆς ἐναρμονίου μελῳδίας, καθ' ἣν τὸ διεσιαῖον διάστημα ἐμελῳδεῖτο, οὐκέτι τοῦ τοιούτου αἴσθησίς ἐστι διαστήματος. καὶ δῆλον ὅτι ἐν τῇ φύσει ἐστὶ τὸ αἰσθητὸν τοῦτο διάστημα, εἰ καὶ ἡ αἴσθησις ἐκλέλοιπεν. Ἀριστοτέλης δὲ ἐπιστητοῦ μὲν ὄντος, ἐπιστήμης δὲ αὐτοῦ μὴ οὔσης μέμνηται τὸν τοῦ κύκλου τετραγωνισμόν. ἔστι δὲ τὸ τοιοῦτον ζήτημα, ὁποῖον ἐζητεῖτο παρὰ τοῖς παλαιοῖς, εἰ ὥσπερ τῶν ἄλλων σχημάτων ἔστι τοσοῦτον χωρίον περιλαβεῖν, ὅσονπερ ὁ κύκλος, οὕτως καὶ ἐπὶ τοῦ τετραγώνου. καὶ φαίνεται μὲν ὅτι ἔστι τις ἀπόδειξις, καθ' ἣν ἔστι τετράγωνον σχῆμα κύκλῳ περιλαβεῖν ὥσπερ καὶ ἄλλα σχήματα, οὐχ εὕρηται δὲ πῶς, ἢ εἰ καὶ εὕρηται, ὥς φασί τινες, 40v ἀλλ' ἐπὶ Ἀριστοτέλους οὔπω εὕρητο. ὥστε ὄντος ἐπιστητοῦ τοῦ παραλαβεῖν τετράγωνον χωρίον κύκλῳ οὐδέπω ἡ ἐπιστήμη εὕρητο. ἐπεὶ καὶ τὸ τὰς ἐκλείψεις τοῦ ἡλίου καὶ τῆς σελήνης γνῶναι καὶ προειπεῖν ἔστιν μέν, ὥσπερ καὶ εὕρηται. πρὸ μέντοι Θαλοῦ οὐδέπω ἦν ὄντος τοῦ ἐπιστητοῦ. ἀλλὰ τὸ μὲν ἐπιστητὸν ἀναιρεθὲν ἀνέλοι ἂν καὶ τὴν ἐπιστήμην, ἐπιστήμη δὲ ἀναιρεθεῖσα οὐκ ἂν ἀνέλοι τὸ ἐπιστητόν. πρότερον ἄρα τὸ ἐπιστητόν, ὑστέρα δὲ ἡ ἐπιστήμη, πρός τι δὲ ὄντα, οὐχ ἅμα. ὥστε οὐκ ἐν πᾶσι τοῖς πρός τι εἴη ἂν τὸ ἅμα φύσει, ὥστε οὐδὲ ἴδιον ἂν εἴη τοῦτο τῶν πρός τι.

'Ε. Ἆρα οὖν κατ' ἀλήθειαν οὕτως ἔχει;

'Α. Οὐδαμῶς· οὐδὲ γὰρ τὸ αἰσθητὸν καθὸ αἰσθητὸν μένει ᾗ ἔστιν μὴ οὔσης αὐτοῦ αἰσθήσεως, οὐδὲ τὸ ἐπιστητὸν καθὸ ἐπιστητὸν μένει ᾗ ἔστιν μὴ οὔσης αὐτοῦ ἐπιστήμης. ἀλλ' εἰ μὲν ἔστιν ἐπιστητόν, δυνάμει ἔσται μὴ οὔσης αὐτοῦ ἐπιστήμης, ἐνεργείᾳ δὲ οὐκ ἔσται ἐπιστητόν, ἐὰν μὴ καὶ ἡ ἐπιστήμη ᾖ αὐτοῦ. ἀλλ' εἰ δυνάμει ἐστὶ ἐπιστητόν, ὅτι δύναται αὐτοῦ ἐπιστήμη γενέσθαι, δυνάμει ἂν εἴη καὶ ἡ ἐπιστήμη, ὅτι δύναται αὐτοῦ ἐπιστή⟨μη εἶναι⟩. μήποτε δὲ καὶ ἐν ἀνθρώποις μὴ εἴη ἐπιστήμη τινὸς ἐπιστητοῦ, ἀλλ' ἐν τῇ φύσει ἐστὶν ἡ ἐπιστήμη πάντων τῶν ἐπιστητῶν νοῦ τοῦ αἰδίου καὶ πάντα ἐπισταμένου τὰ ὄντα, καὶ ἀεὶ εἰς τοὺς ἀν-

4 δὲ Zp: oblitter. M 5 an ἔσται? 6 διεσιαίου p: διαισιαίου M 8 ante καθ' ἣν add. καὶ p: om. M διαισιαῖον M 9 ἐστι M: ἔσται p 13 τῶν Zp: oblitter. M: an ἐπὶ τῶν? 16 an ⟨τὰ⟩ ἄλλα? (cf. v. 13) an δέ πω? 17 ἐπὶ ἀριστοτέλης M an περιλαβεῖν? 19 ἐκλείψης M 22 ἂν p: om. M 23 ὑστέρα M: ὕστερον p 24 οὐδὲ scripsi: οὔτε Mp 26 ἄρα οὖν (sed οὖν refecit m^{3}) M: om. p 27 μένει ᾗ ἔστιν Zp: μεν, ἐστὶν M 28. 29 ante αἰσθήσεως et ἐπιστήμης add. τῆς p: om. M 31 αὐτοῦ refecit M^{3}: lacuna V litter. A: om. CDp 33 ἐπιστήμη εἶναι scripsi: ἐπιστή, post quod VI vel VII litterae oblitter. M: lacuna Zp 34 ἐπιστητοῦ p: refecit M^{3} 35 νοῦ τοῦ refecit M^{3}: τοῦ in lacuna om. Zp τοὺς Zp: oblitter. M

θρώπους κάτεισιν ἡ τῶν πολλῶν ἐπιστήμη. ὥστε αἰσθητοῦ ὄντος ἔστι καὶ καθόλου αἴσθησις καὶ ἐπιστητοῦ ὄντος ἔστι καθόλου ἐπιστήμη, καὶ ἅμα τέ ἐστι τὰ πρός τι.

'Ε. 'Αλλ' ἐπεὶ ἔφη ὁ 'Αριστοτέλης τὸ ὡς ἐπὶ τὸ πολὺ προϋπαρχόντων πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν. ἐπ' ὀλίγων γὰρ ἢ ἐπ' οὐδενὸς ἴδοι τις ἂν ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γινομένην, ἐπὶ τίνων ἅμα ἡ ἐπιστήμη συνυφίσταται;

'Α. Φημὶ ὅτι ἐπὶ τῶν ἀναπλασμάτων· ἅμα γὰρ τῷ ἀναπλάσαι χίμαιραν ὑπέστη ἅμα καὶ ἡ ἐπιστήμη τῆς χιμαίρας καὶ τὸ φάντασμα αὐτῆς, καὶ ὁ πρῶτος γράμματα διδάξας ἅμα τῇ ἐπιστήμῃ τῶν γραμμάτων εἰσή- 41r
γαγεν τὰ γράμματα, καὶ ὁ ζωγραφίαν εὑρὼν πρῶτος ἅμα τῇ ζωγραφίᾳ εἰσήγαγε τὰς εἰκόνας.

'Ε. Διὰ τί οὖν προσέθηκεν τὸ ἢ ἐπ' οὐδενός;

'Α. Ὅτι μήποτε καὶ ταῦτα ἦν ἐν τῇ φύσει, τὰς δὲ ἐπιστήμας ὕστερον ἐλάβον.

'Ε. Αἰσθήσεως οὖν μὴ οὔσης πῶς φὴς καὶ τὸ αἰσθητὸν μὴ εἶναι;

'Α. Ὅτι φέρε αἰσθήσεως μὴ οὔσης μέλι μέν ἐστιν γευστόν, αἰσθητὸν δὲ οὐκ ἔστι, καὶ λευκὸν μὲν ἔσται, ὁρατὸν δὲ οὐκ ἔσται ὁράσεως μὴ οὔσης.

'Ε. Ἑξῆς ὁ 'Αριστοτέλης τίνα τούτοις ἐπάγει ζητήματα;

'Α. Λέγω ὅτι εἰ κατὰ τὸν δοθέντα οἷον ὁρισμὸν ἀποδοθῇ τὰ πρός τι, ἔσται τινὰ τῆς οὐσίας τῶν πρός τι.

'Ε. Διὰ τί οἷον ὁρισμὸν εἴρηκας, καὶ τίνα τοῦτον ⟨φής⟩;

'Α. Οἷον μὲν ὁρισμὸν ἔφην, ἀλλ' οὐχ ὁρισμόν, ὅτι τῶν ἀνωτάτων οὐκ ἔστιν ὅρους ἀποδοῦναι, ἀνώτατα δὲ γένη τὰ ταῖς κατηγορίαις ὑποπίπτοντα. οἷον δὲ ὅρος τῶν πρός τι ἀπεδόθη τὸ εἶναι τὰ πρός τι ἐκεῖνα, ⟨ἃ⟩ ἅπερ ἐστὶν ἑτέρων λέγεται. κατὰ δὲ ταύτην τὴν ὑπογραφὴν ἔσονταί τινες οὐσίαι τῶν πρός τι.

'Ε. Τί οὖν ἄτοπον;

'Α. Ὅτι τὸ μὲν πρός τι συμβεβηκός ἐστιν, ἡ δὲ οὐσία οὐδαμῶς συμβεβηκός. εἰ οὖν τῶν πρός τί τινες ἔσονται κατ' αὐτὸ ὅ εἰσιν οὐσίαι, ἔσται ἡ οὐσία καθόσον οὐσία τῶν συμβεβηκότων.

'Ε. Πῶς οὖν τοῦτο ἐπιδείξεις;

3 τέ] an γέ? 4 τὸ M: τῶν p τὸ (ante πολὺ) p Aristot.: om. M προϋπαρχόντων Aristot.: ὑπαρχόντων Mp 5 γὰρ ἂν Aristot. 6 ἴδοι Zp: oblitter. M 7 ἡ ἐπιστήμη p: τῇ ἐπιστήμῃ M 8 τῷ scripsi: τὸ Mp 9 καὶ (post ἅμα) Zp: oblitter. M 9. 10 φάντασμα — πρῶτος Zp: —σμα — πρῶτος oblitter. M 10 εἰσήγαγεν M: ἐπήγαγε p 11 πρῶτος p: πρῶτον M 14 μήποτε] δήποτε mrg. p ἦν] ἣν M 15 ἔλαβον M: ἐλάβομεν p 17 γευστόν] γλυκὺ supra scr. M^2; immo corrigas μέλι μέν ἐστιν, γευστὸν δὲ οὐκ ἔστιν 18 λευκὸν refecit M^3: in lac. om. Zp 20 ὁ ἀριστοτέλης refecit M^3: οὖν ὁ ἀριστοτέλης Zp 23 φής addidi: τίνα τοῦ τῶν (τῶν, supra quod scriptae IV vel III litterae dispici iam non possunt, m^1; τίνα τοῦ refecit m^3) M: τίνα ante lacunam Zp 24 οἷον supra scr. M^3: om. Zp ἔφην M: ἔφης p 26 ἃ inserui 27 ante λέγεται add. εἶναι p: om. M 30 τὸ M: τὰ p 31 ἔσονται τινὲς colloc. p καθ' αὐτὸ M

'Α. Εἰ γὰρ τὸ πρός τι τοιοῦτόν ἐστιν, ὃ πρός τι ἕτερον λέγεται, ἔστι δὲ χεὶρ ἀνθρώπου πρός τι ἕτερον λεγομένη, γενήσεται ἡ χεὶρ τῶν πρός τι. ὡσαύτως δὲ καὶ ὁ πούς καὶ ὁ ὀφθαλμὸς καὶ τὰ ἄλλα μέρη, ἐξ ὧν ἕκαστος ἡμῶν συνέστηκεν.

'Ε. Καὶ τί οὖν ἄτοπον;

'Α. Ὅτι εἰ τὰ μέρη τῶν οὐσιῶν μὴ ἔστιν οὐσίαι, καὶ τὸ ὅλον οὐκ ἔστιν οὐσία· τὸ γὰρ μὴ ἐξ οὐσιῶν συγκείμενον, οὐδὲ αὐτὸ ἔσται οὐσία. τούτου δὲ οὐδὲν ἀτοπώτερον γένοιτο. ἢ τὸν ὁρισμὸν οὖν τὸν ἀποδοθέντα διορθωτέον ἢ ἐάν περ τοῦτον ὡς ὑγιῶς ἔχοντα ἐάσωμεν, χαλεπὸν τὸ δεῖξαι ὅτι οὐδεμία οὐσία τῶν πρός τί ἐστιν.

'Ε. Πῶς οὖν ἐπιδείξεις ὅτι ἔσται κατὰ τὴν ἀπόδοσιν τῶν πρός τι τῶν οὐσιῶν τι τῶν πρός τι;

'Α. Διαιρῶν τοῦτον τὸν τρόπον τὰς οὐσίας· ἐρῶ γὰρ ὅτι ἤτοι τὴν ἄτομον οὐσίαν ἢ τὰ μέρη αὐτῆς λεκτέον τῶν πρός τι, ἢ τὴν κοινήν, τοῦτ' 41v ἔστι τὰ γένη καὶ τὰ εἴδη τῶν οὐσιῶν, ἢ τὰ μέρη τῶν εἰδῶν καὶ τῶν γενῶν ἢ οὐδὲν αὐτῶν. ὅτι μὲν οὖν ἐπὶ τῶν πρώτων οὐσιῶν, τοῦτ' ἔστι τῶν ἀτόμων, οὐκ ἔστιν εἰπεῖν ὅτι τῶν πρός τί ἐστί τις, οὐ χαλεπὸν δεῖξαι· ὁ γὰρ Σωκράτης οὐ λέγεται τινός τις Σωκράτης· εἰ γάρ τις ἐρεσχελῶν θεοῦ λέγοι εἶναι τὸν Σωκράτην, ἀλλὰ καὶ ἀναστρέψας ἐρεῖ τὸν θεὸν Σωκράτους εἶναι θεόν, ὅπερ ἄτοπον· ἔσται γὰρ τοῦ λίθου καὶ τῶν τυχόντων οὐσιῶν ὁ θεός, καὶ οὐ μόνων τῶν λογικῶν ζῴων. ἔπειτα ὡς κτήματα εἴη ἂν τοῦ θεοῦ τὰ κατὰ μέρος τῶν ἐν κόσμῳ, ζητοῦμεν δὲ οὐχὶ ὡς τὰ κτήματα εἰ εἰσὶν οὐσίαι κτημάτων τινῶν, ἀλλ' εἰ καθὸ οὐσίαι εἰσὶν τινῶν οὐσίαι αἱ οὐσίαι. ὅπερ οὐκ ἔστιν ἐπιδεῖξαι ἐπὶ τῶν ἀτόμων οὐσιῶν. ἀλλὰ μὴν οὐδὲ τὰ μέρη τῶν ἀτόμων οὐσιῶν εἴη ἂν τῶν πρός τι· οὐδὲ γὰρ ἡ τινὸς χεὶρ εἴη ἂν τινὸς χείρ, ὥστε εἰπεῖν ἂν ἡ τινὸς χεὶρ τινός τις χείρ ἐστιν, ἀλλὰ ἁπλῶς λέγομεν τινὸς χείρ. ἐπεὶ καὶ ἡ κεφαλὴ τινὸς λέγεται κεφαλή, ἀλλ' οὐχὶ τινός τις κεφαλή.

'Ε. Ἀλλ' ὅτι μὲν οὐχ οἷόν τε εἰπεῖν ἐστι πρός τι τὰς ἀτόμους οὐσίας οὐδὲ τὰ μέρη αὐτῶν, διὰ τούτων ἀπέδειξας. ἐπίδειξον οὖν καὶ ἐπὶ τῶν δευτέρων οὐσιῶν αὐτῶν τε καὶ τῶν μερῶν αὐτῶν αὐτὸ τοῦτο συμβαῖνον.

'Α. Ἐπὶ μὲν οὖν τῶν δευτέρων οὐσιῶν δείξαιμ' ἂν τὸ αὐτὸ τοῦτο συμβαῖνον, οἷον ὁ ἄνθρωπος, ὃν κοινῶς κατηγοροῦμεν ἄνθρωπον, οὐ λέγεται

1 τὰ—τοιαῦτά ἐστιν, ἃ p λέγεται Zp: oblitter. M 7 τὸ γὰρ μὴ—οὐσία M: om. p 8 τὸν (ante ἀποδοθέντα) M: om. p 9 ὑγειῶς M 10 ἐστιν AD: oblitter. refecit M³: om. Cp 11 πῶς p: refecit M³ ἐπιδείξεις M: δείξεις p 13 διαιρὸν M τὰς p: refecit M³ ὅτι M: om. p 20 an γὰρ ⟨καὶ⟩? 21 οὐσιῶν inducas. οὐ M: μὴ p μόνων p: μόνον M 22 ὡς τὰ κτήματα ACp: refecit M³: ὡς κατὰ κτήματα D 23 κτημάτων] corrigas κτήματα, nisi malis eicere τινῶν refecit M³: in lac. om. Zp 25 οὐδὲ M: οὔτε p 26 ἂν M: om. p 28 τις ADp: oblitter. vel eras. M: om. C 30 ante καὶ add. εἰ p: om. M 31 αὐτῶν (post οὐσιῶν) M: om. p συμβαῖνον M: συμβαίνοι p 33 οὐσιῶν M: om. p δείξαιμ' paene oblitter. M: in lac. om. Zp 34 συμβαῖνον M: συμβαίνοι p κατηγοροῦμεν Zp: oblitter. M

τινὸς ἄνθρωπος οὐδὲ ὁ βοῦς τινὸς βοῦς οὐδὲ τὸ ξύλον τινὸς ξύλον. ἀλλ' εἰ ἄρα, κτῆμα. ὅτι δὲ ἕτερόν ἐστι τούτων ἑκάστῳ τὸ εἶναι ἀνθρώπῳ ἢ βοῒ ἢ ξύλῳ, καὶ ἕτερον τὸ κτῆμα εἶναι δῆλον.

'Ε. 'Αλλ' ὅτι μὲν τῶν τοιούτων οὐδὲν † ἤτοι αὐτὰ τῶν πρός τί ἐστιν, ἀπέδειξας· δεῖξον οὖν καὶ ἐπὶ τῶν μερῶν τῶν δευτέρων οὐσιῶν, εἰ μὴ τῶν πρός τι αὐτοῖς εἶναι συμβήσεται, καθόσον τῶν δευτέρων οὐσιῶν ἐστιν μέρη.

'Α. 'Αλλ' οὐκ ἔστι μοι τοῦτο ὑποδεῖξαι δυνατόν.

'Ε. Διὰ τί;

'Α. Ὅτι ἡ κεφαλὴ καθόσον κεφαλὴ τινός ἐστι κεφαλή, ὥσπερ καὶ τὸ πηδάλιον τινός ἐστι πηδάλιον· κοινῶς δὲ ἡ κεφαλὴ λεγομένη κοινῶς ἂν 42r εἴη τινὸς κεφαλή, τοῦ κεφαλωτοῦ δηλονότι, καὶ ἡ χεὶρ χειροδότου ἂν εἴη χείρ· εἰ δὲ πρός τί ἐστιν ἐκεῖνα ἅπερ αὐτὰ ἃ ἐστιν ἑτέρων λέγεται, τὰ μέρη πάντα τῶν δευτέρων οὐσιῶν ἑτέρου λεγόμενα τῶν πρός τι ἂν εἴη· λέγεται γὰρ κεφαλὴ εἶναι τοῦ κεφαλὴν ἔχοντος καὶ ἡ χεὶρ καὶ ὁ ὀφθαλμὸς καὶ ἡ ῥὶν καὶ ὁ πούς, ὅσα κοινῶς λέγεται, τινὸς ἂν ῥηθείη εἶναι καὶ αὐτὰ ἅπερ ἐστὶ τὰ μέρη τοῦ ὅλου λέγεται εἶναι μέρη. ὥστε τὰ μέρη τῶν δευτέρων οὐσιῶν κατὰ τὸν ἀποδοθέντα ὅρον τῶν πρός τι ἔσται πρός τι.

'Ε. Ἔστι γὰρ εἴδη καὶ γένη τῶν μερῶν τῆς οὐσίας;

'Α. Ναί.

'Ε. Πῶς;

'Α. Ἡ γὰρ τὶς χεὶρ ἔχειν ὀφείλει εἶδος καὶ γένος, εἶδος μὲν τὴν χεῖρα, γένος δὲ τὸ μέλος. δεύτεραι οὖν οὐσίαι καὶ αὗται, ἡ χεὶρ καὶ ὁ πούς· ἀλλὰ χεὶρ τινὸς χείρ καὶ ὁ ποὺς τινὸς πούς· τῶν πρός τι ἄρα.

'Ε. 'Αλλ' ἐπεὶ ἄτοπον τῶν πρός τί τινας παραδέξασθαι τῶν οὐσιῶν, τί πεποίηκεν ὁ 'Αριστοτέλης;

'Α. Παραιτησάμενος τὴν προτέραν ὑπογραφὴν ἑτέραν ἀποδίδωσιν αὐτοῖς.

'Ε. Τίνα ταύτην;

'Α. Πρός τι εἶναι, φησίν, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν.

'Ε. 'Αλλὰ ἀσαφὴς ἡ ὑπογραφὴ καὶ δι' αὐτοῦ γε τοῦ ζητουμένου ἀποδιδομένη.

'Α. Διὰ τί;

'Ε. Ὅτι ζητουμένου, τίνα ἐστὶ πρός τι, † ἀποδεδωκότος πρός τι εἶναι ἐκεῖνα, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τι αὐτοῖς εἶναι· ἀσαφής τε γὰρ ἡ ἀπόδοσις ζητουμένου, τίνα τὰ πρός τι, λέγειν ὅτι τὰ πρός τί ἐστι τὰ πρός τι καὶ δι' αὐτοῦ τοῦ ζητουμένου τὴν ἀπόδοσιν ἔχειν.

1 τὸ ξύλον Zp: oblitter. M 4 ἤτοι αὐτὰ om. p (recte) 7 ὑποδεῖξαι M: ἐπιδεῖξαι p 9 καθόσον κεφαλὴ M: om. p 12 ἃ M: om. p 15 ἡ ῥὶν Zp: ὁ ῥὶν M εἶναι Zp: oblitter. M 18 τῶν μερῶν εἴδη καὶ γένη colloc. p τῆς οὐσίας (sed τῆς refecit m³) M: εἰπεῖν οὐσίας Zp 23 corrigas ἀλλ' ἡ χεὶρ 29. 35 τῷ p: τὸ M 30 τί supra ser. M 31. 124,1 ante 'Αλλὰ ἀσαφὴς et 'Αλλ' οὕτως distinxi 34 ἀποδεδωκότος M: ἀποδέδωκας p: an ἀποδέδωκεν αὐτὸς? 36 ζητουμένου p: ζητούμενα M 37 ζητουμένου Zp: ζητου — oblitter. M

'Α. 'Αλλ' οὕτως μέν σου ἐπισύραντος τὴν ἀπόδοσιν φανήσεταί σοι ὀρθῶς ἀποδιδομένη καὶ ἀλείπτως.

'Ε. Ἐξήγησαι οὖν, τί βούλεται διὰ τῆς ἀποδόσεως.

'Α. Πολλὰ τῶν πραγμάτων ἄλλως μὲν ὑφέστηκεν, ἄλλως δὲ ὑπογράφεται. ἀλλὰ δεῖ διαστέλλοντα δεικνύναι, ποταπὴν τὴν ὑπογραφὴν ἔχειν ὀφείλει. οἷον τὸ λευκὸν ἔστι μὲν καὶ ἐπὶ τῆς λευκότητος τάξαι· λέγομεν γὰρ τὸ χρῶμα λευκόν· ἔστι δὲ καὶ ἐπὶ τοῦ σώματος τοῦ μετέχοντος τῆς λευκότητος· ἔστι γὰρ εἰπεῖν σῶμα λευκόν. ἂν οὖν ὁ μὲν τὸ λευκὸν εἴπῃ χρῶμα διακριτικὸν ὄψεως, ὁ δὲ ἀκούσῃ μὴ ἐπὶ τῆς λευκότητος ἀλλ' ἐπὶ 42v τοῦ σώματος, ἄτοπόν τι ... χρῶμα διακριτικὸν ὄψεως. ἔστιν οὖν διόρθωσις, ὅτι τὸ λευκὸν καθὸ λευκὸν εἴη ἂν χρῶμα διακριτικὸν ὄψεως καὶ οὐχ ᾧ τὸ λευκὸν εἶναι συμβέβηκεν, ἤγουν τὸ σῶμα, ὥστε ἐν αὐτῷ τῷ ὅρῳ τοῦ ⟨λευ⟩κοῦ † περιλαμβάνει ἢ τὸ λευκὸν εἶναι καὶ μὴ εἶναι μήτε ἁμάρτημα μήτε τὸ ζητούμενον λαμβάνεσθαι εἰς ἐξήγησιν τοῦ ζητουμένου. καὶ ἐνταῦθα οὖν οὐχ ἁπλῶς ἐρρέθη ὅτι ἔστι τὰ πρός τι ταὐτὸν τῷ πρός τί πως ἔχειν, ἀλλὰ πρόσκειται οἷς τὸ εἶναι ταὐτὸν τῷ πρός τί πως ἔχειν· τὸ γὰρ εἶναι τῶν πρός τί ἐστι τὸ σχέσιν ἔχειν πρὸς ἕτερον καὶ ἐκείνου, πρὸς ὃ λέγεται, ταὐτοῦ ὄντος τῇ σχέσει τῇ πρὸς ὃ λέγεται· τὸ γὰρ διπλάσιον, ἔστω δὲ καὶ τέσσαρα καὶ δύο, οὐ καθὸ τέσσαρά ἐστι τῶν πρός τι οὐδὲ τὰ δύο, ἀλλὰ καθὸ τὰ τέσσαρα τῶν δύο ἐν λόγῳ ἐστὶ διπλασίονι καὶ τὰ δύο τῶν τέσσαρα ἐν λόγῳ ἐστὶν ἡμίσει. τὰ οὖν πρός τί ἐστιν ἡ σχέσις ὑποκειμένων πρὸς ἄλληλα, οὐ κατὰ τὰ ὑποκείμενα τῇ σχέσει, οἷς οὐ τὸ εἶναι ταὐτόν ἐστι τῇ πρὸς ἄλληλα σχέσει· ἡ δὲ πρὸς ἄλληλα σχέσις τῶν πρός τι τὸ πρός τί πως ἔχειν ἐστίν. ταῦτα οὖν πρός τί ἐστιν, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πως ἔχειν πρὸς ἄλληλα.

'Ε. Σαφῶς εἰπέ, τί ποτε λέγεις.

'Α. Φημὶ ὅτι βούλεται λέγειν, τὰ πρός τί ἐστι μὲν ὑπό τινων ὑποκειμένων ὑφιστάμενα, οὐ μὴν καθὸ ὑπόκειται τὰ ὑποκείμενά ἐστι πρός τι, ἀλλὰ καθὸ τὰ ὑποκείμενα κατὰ σχέσιν τὴν πρὸς ἄλληλα πλεονεκτοῦντα φαίνεται· τὰ γὰρ τέσσαρα πρὸς τὰ δύο σχέσει πλεονάζει, ὅταν τὰ μὲν

1 ἐπισύραντος M: ἐπισύροντος p 2 ἀλείπτως Cp: ἀλήπτως M 4. 5 ὑπογράφεται ἀλλὰ Zp: oblitter. M 6 λέγομεν] λέγο paene oblitter. M (ἔστι refecit m^3) 8 ἂν Simpl.^{c} (f. 51^{r}62): ἐπεὶ Zp: oblitter. M ὁ μὲν p: supra scr. M: ὁ μέν τις Simpl.^{c} εἴπῃ M: εἴποι p 9 ἀκούσῃ] —κούσῃ refecit M^3: lac. Zp 10 χρῶμα post III fere litt. oblitter. M: καὶ σῶμα Zp: scribas ⟨ἔσται τὸ⟩ χρῶμα (cf. Simpl. ἄτοπος δόξει ὁ λόγος· οὐ γάρ ἐστι τὸ σῶμα χρῶμα διακρ. ὄψεως) 10. 11 ἔστιν οὖν—ὄψεως M: om. p 12 εἶναι refecit M^3: om. p 13 λευκοῦ scripsi: οὖ post V fere litt. oblitter. M: om. in lac. Zp corrigas τὸ περιλαμβάνειν ᾗ λευκὸν ⟨διόρθωσιν⟩ 15 ταὐτὸν] τὰ αὐτὰ Simpl. (recte) 15. 16 τῷ p: τὸ M 19 καὶ (ante τέσσαρα) M: om. p 20 τὰ δύο] cum Felic. corrigas καθὸ δύο διπλασίονι Zp: oblitter. M 21 οὖν Zp: oblitter. M 22 an σχέσις ⟨τῶν⟩? κατὰ] an αὐτὰ? τῇ Zp: oblitter. M 23 ἄλληλα σχέσει ἡ Zp: —λα σχέσει ἡ oblitter. M 24 τὸ M: τῷ p 25 πρὸς ἄλληλά πως ἔχειν colloc. p 27 τὰ Zp: τὸ ut videtur M 28 ὑφιστάμενα Zp: extrema littera α oblitter M 29 πλεονεκτοῦνται Zp: —εκτοῦντα oblitter. M 30 τὰ μὲν p: τὸ μὲν M

διπλάσια ῥηθῇ, τὰ δὲ ἥμισυ. οὐ γὰρ μόνον τὰ τέσσαρα τέσσαρα καλεῖται, ἀλλὰ καὶ διπλάσια πλεονάσαντα ταύτῃ τῇ προσηγορίᾳ, καθὸ λόγος ἐπ' αὐτῶν θεωρεῖται ὁ τοῦ διπλασίου, καὶ τὰ δύο, καθὸ ἥμισυ λέγεται, καθὸ δὲ λόγου μετέχει τοῦ διπλασίου καὶ τοῦ ἡμίσεως, εἰσὶ πρός τι. ὁ δὲ λόγος ἐπὶ δυοῖν σχέσιν ἐχόντων πρὸς ἄλληλα θεωρεῖται.

'Ε. 'Αλλὰ πῶς καὶ ὁ πρότερος λόγος οὐ τὸ αὐτὸ παρίστησιν;

'Α. Ὅτι παρακολούθημα μὲν παρίστη παρακολουθοῦν τὰ πρός τι, τί δέ ἐστιν, οὐκ ἀπεδίδου· εἰ μὲν γάρ τί ἐστι πρός τι, πρός τι πάντως καὶ 43r τινὸς λέγεται, οὐ μὴν εἰ τινὸς λέγεται, πάντως ἂν εἴη καὶ πρός τι· ἐπὶ πλέον γὰρ τὸ τινὸς εἶναι. οἷον * * * θνητόν, πάντως τοῦτο ἄνθρωπος, καὶ ὁμοίως ἐπὶ τοῦ λογικοῦ. διὸ καὶ εἴ τι μὲν τῶν πρός τι, πάντως τοῦτο τινός, οὐκ ἔτι δὲ εἴ ⟨τι⟩ τινός ἐστι, πάντως τοῦτο πρός τι. δι' ἣν αἰτίαν πολλὰ τῶν οὐ πρός τι περιελάμβανεν ἐν τοῖς πρός τι, ὡς ἂν δὴ τοῦ τινὸς εἶναι ἀποδοθέντος μόνοις τοῖς πρός τι εἶναι. ἀλλ' ὁ δεύτερος λόγος οὐ τούτῳ ἐπερείδεται τῷ τινὸς εἶναι, καὶ ἐν τῇ σχέσει τινῶν τῶν πρὸς τι ἄλληλα τὸ εἶναι ἔχειν τὰ πρός τι· οἷον γὰρ μέσον τί ἐστιν τῶν ὑποκειμένων ἡ σχέσις, καθ' ἣν ὑφίσταται τὰ πρός τι, πλεονάζουσα παρὰ τὰ ὑποκείμενα οὐκ ἄλλῳ τινί, ἀλλὰ τῷ μηνύειν ποιάν τινα συνάφειαν αὐτοῖς πρὸς ἄλληλα ἐπιθεωρουμένην, καθὸ τούτοις καλεῖται τοῖς ὀνόμασιν. ἵνα δὲ μὴ δοκῇ αὐτὸ τοῦτο ὑπογραφῆς ἀξιούμενον λαμβάνεσθαι εἰς τὴν αὐτοῦ ὑπογραφήν, ἠξίουν τινὲς οὕτως ὑπογράφειν· 'οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρὸς ὁτιοῦν πως ἔχειν', ἢ ὡς 'Ανδρόνικος, 'οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρὸς ἕτερόν πως ἔχειν, ἐκεῖνά ἐστι πρός τι'.

'Ε. Τί οὖν παρίστησιν ὁ τοιοῦτος λόγος;

'Α. Ὅτι ἐν τοῖς ὑποκειμένοις ἐστὶν οὔτε ὡς οὐσίας συμπληρωτικὸν οὔτε ὡς ἄλλο τι τῶν συμβεβηκότων, ἃ ἐν αὐτοῖς τοῖς ὑποκειμένοις γίνεται, οἷον πάθος ἢ ἐνέργεια, ἀλλά τι ἔξωθεν. διὸ καὶ μὴ πασχόντων τῶν ὑποκειμένων γίνεται καὶ ἀπογίνεται.

'Ε. 'Αριστοτέλης δὲ τί ἔφη περὶ τῆς τοιαύτης ὑπογραφῆς τῶν πρός τι;

'Α. Ὅτι ἐάν τις εἰδῇ τι ὡρισμένως, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται.

'Ε. Διὰ τί ἢ πῶς;

'Α. Εἰ γὰρ οἶδέν τις ὅτι τὰ τέσσαρα τῶν πρός τί ἐστιν, ἔστι δὲ τὸ

---

1 διπλάσια] διπλ (superscript ά) M: διπλασίονα p (cf. v. 2) τὰ δὲ p: τὸ δὲ M τὰ τέσσαρα] τὰ δ Zp: oblitter. M 3 conicias καθὸ ἥμισυ ⟨τῶν τεσσάρων ἥμισυ⟩ 4 an ἔστι? 7 παρακολουθοῦντα p 8 πρός τι alterum eicias 10 post οἷον defectum indicavi, inseras εἴ τι μὲν ἄνθρωπος, πάντως τοῦτο θνητόν, οὐκ ἔτι δὲ εἴ τι πάντως M: om. p 12 τι interposui 14 πρός τι—λόγος Zp: oblitter. M 15 τούτῳ scripsi: τοῦτο Mp ante καὶ ἐν τῇ σχέσει intercidisse videntur ἀλλὰ τῷ ἐν τῷ πρός τί πως ἔχειν an τινῶν τῇ πρὸς ἄλληλα? 16 ἔχειν M: ἔχει p 18 τῷ p: τὸ M 20 αὐτὸ ex αὐτῷ corr. M 21 οἷς Simpl: ὧν (?) M: οὗ p τῷ p: τὸ M 22 ταὐτόν p: αὐτόν M 31 post ὡρισμένως add. τῶν πρός τι Aristot. 34 ante Εἰ γὰρ distinxit Fel.: ante ὅτι (p. 126,2) M^2p τὸ p: τῶ M

εἶναι τοῖς πρός τι ταὐτὸν τῷ πρός τί πως ἔχειν, κἀκεῖνο οἶδεν, πρὸς ὃ τοῦτό πως ἔχει, ὅτι τὰ τέσσαρα πρὸς τὰ δύο τὸν διπλασίονα λόγον ἔχει. εἰ δὲ μὴ οἶδεν ὅλως, πρὸς ὅ πως ἔχει, οὐδ᾽ ὅτι πρός τί πως ἔχει εἴσεται· ἀμήχανον γὰρ εἰδέναι μὲν ὅτι διπλάσιά ἐστι τὰ τέσσαρα, μὴ εἰδέναι δὲ ὅτι 43v τῶν δύο διπλάσιά ἐστι. καὶ εἰ οἶδεν ὅτι πατήρ ἐστι Σωφρονίσκος ὡρισμένως, οἶδεν καὶ ὅτου πατήρ ἐστιν, ὅτι Σωκράτους, καὶ τὸν Σωκράτην ὅτι υἱὸς Σωφρονίσκου εἴσεται.

Ἐ. Ἀλλ᾽ ἐπεὶ ἐπὶ τῶν πρός τι τοῦτο ἀπεδείχθη, τί ἐκ τούτων συμβήσεται ὧν εἴρηκας, τί συμβήσεται;

Ἀ. Τὰ τῶν οὐσιῶν μέρη αὐτὰ μὲν ἅπερ ἐστὶν ὡρισμένως εἴσεταί ⟨τις⟩. πρὸς ἃ λέγεται δὲ οὐκ ἀναγκαῖον ὡρισμένως εἰδέναι. δεικνυμένης γὰρ φέρε χειρὸς ὅτι μέν τινός ἐστιν χεὶρ ὁρίσειεν ἄν τις, τίνος δέ, πότερον Δίωνος ἢ Θέωνος ἤ τινος ἄλλου τῶν κατὰ μέρος, οὐκ ἂν εἰδείη καίτοι ὁρῶν αὐτὴν καὶ δεικνὺς ὅτι αὕτη χείρ ἐστιν. ἀλλ᾽ εἰ τὰ πρός τι ἀόριστα μὲν πρὸς ἀόριστα λέγεται, ὡρισμένα δὲ πρὸς ὡρισμένα, τὰ δὲ τῶν οὐσιῶν μόρια ὡρισμένως γινωσκόμενα πρὸς ἃ λέγεται οὐκ ἀναφέρεται ὡρισμένως, οὐκ ἂν εἴη τὰ τοιαῦτα τῶν πρός τι. τὴν γὰρ κεφαλὴν καὶ τὴν χεῖρα καὶ ἕκαστον τῶν τοιούτων, ἅ εἰσιν οὐσίαι, αὐτὸ μὲν ὅπερ ἐστὶν ὡρισμένως ἔστιν εἰδέναι, πρὸς ὃ δὲ λέγεται, οὐκ ἀναγκαῖον. τίνος γὰρ αὕτη ἡ κεφαλὴ ἢ τίνος ἡ χείρ, οὐκ ἔστιν εἰδέναι ὡρισμένως· οὐκ ἂν οὖν εἴη ταῦτα τῶν πρός τι. περὶ δὲ τούτων ἦν ἡ ἀμφισβήτησις μόνον, εἰ οὐσίαι ὄντα τῶν πρός τι ἂν εἴη. ἀλλ᾽ εἰ μηδὲ ⟨ταῦτα⟩ τῶν πρός τι, οὐδὲ ἄλλη τις οὐσία οὐδὲ τὰ μέρη αὐτὰ ⟨δηλα⟩δὴ καθόσον οὐσίαι τῶν πρός τί ἐστιν. Ἆρα οὖν ἀποφαι.... π.....τι ο ὅρ.... δ. οὐσία τῶν πρός τι;

Ἐ. Σφοδρῶς μὲν οὐκ ἀξιοῖ ὁ Ἀριστοτέλης μὴ πολλάκις ἐπεσκεμμένους, τὸ μέντοι ἠπορηκέναι ἐφ᾽ ἑκάστου αὐτῶν οὐκ ἄχρηστον εἶναι. δυνατὸν γάρ τινα εἰπεῖν κἀπὶ τῶν μερῶν ὅτι ὡρισμένως εἴσεται· ὁ γὰρ ἰδὼν τίς ἡ χείρ ἐστιν, ὅτι καὶ τοῦδέ ἐστιν εἴσεται ὡρισμένως· ὁ γὰρ δὴ τοῦ ἐγκεκαλυμμένου ὁρῶν χεῖρα γινώσκει μὲν χεῖρα, * * τὸν γάρ τινά ἐστιν εἰδέναι τὸ τήνδε γινώσκειν εἰ ἔστιν τοῦδε. διὰ τοίνυν τὰς τοιαύτας ἀπορίας προσέθηκεν τὸ μὴ δεῖν σφοδρῶς ἀποφαίνεσθαι ὅτι οὐκ ἔστιν οὐσία τῶν 44r πρός τι.

2 τὸν διπλασίονα Zp: oblitter. M 3 ἔχει Zp: oblitter. M ὅτι scripsi: ἔτι Mp 5 ὡρισμένος M 7 ἴσεται M 9 τί συμβήσεται eicias 10. 11 εἴσεταί τις scripsi: εἴσεται Zp: oblitter. M 11 πρὸς ἃ δὲ λέγεται colloc. p 13 εἰδείη p: εἴδη M 18 αὐτὸ — ὅπερ Aristot.: αὐτὰ — ἅπερ (sed recte πρὸς ὃ v. 10) Mp 21 τούτων Zp: τούτω M 22 supplevi ex Aristot. ταῦτα: IV vel V litterae oblitter. M: lac. AD: om. Cp 23 δηλαδὴ suppl. Diels: ante δὴ III vel IV litt. oblitter. M: lac. AD: om. Cp 24 inter οὖν et οὐσία plurima oblitterata M: in lacuna om. Zp; conicias ἀποφαίνεται κατὰ τὸν ἀποδοθέντα τῶν πρός τι οἷον ὅρον ὅτι οὐδεμία (cf. p. 121,24) 26 ἑκάστου M: ἑκάστῳ p 27. 28 ἴσεται M 28 ἡ χείρ Zp: oblitter. M 29 ante τὸν γὰρ defectum indicavi, supplere placet οὐχ ὡρισμένως δέ (cf. Simpl. f. 51r61) τὸν] an τὸ? 32 post πρός τι add. τέλος τῶν πρός τι M

[Εἰς τὸ ποιὸν καὶ τὴν ποιότητα]

'Α. Μετὰ τὴν τῶν πρός τι κατηγορίαν τίς ἂν ἑξῆς εἴη;

'Ε. Ἡ τοῦ ποιοῦ, ὅτι μετὰ τὴν οὐσίαν καὶ τὸ ποσὸν ἀμφισβητήσιμον ἦν, μὴ τὴν τοῦ ποιοῦ τάττειν ἔδει, πολλῶν δὲ ζητημάτων γεγονότων ἐν τῇ περὶ ποσοῦ κατηγορίᾳ περὶ τῶν πρός τι, ἀνάγκη γέγονεν περὶ τούτων ἐφεξῆς τῷ ποσῷ διδάξαι. μετὰ οὖν τὴν τῶν πρός τι κατηγορίαν ἔπεται περὶ τοῦ ποιοῦ σκέψασθαι. καὶ γὰρ δὴ μετὰ τὸ μέγεθος, ὅ ἐστι ποσόν, καὶ μετὰ τὸ μεῖζον, ὅ ἐστι τῶν πρός τι, ἐκφύεται τὰ πάθη οἷον θερμόν, ψυχρόν, ξηρόν, ὑγρόν, ἅ ἐστι ποιά.

'Α. Τίνι διαφέρει ποιὸν ποιότητος;

'Ε. Ὅτι τὸ μὲν ποιὸν διχῶς λέγεται· καὶ γὰρ αὐτὴ ἡ ποιότης ποιὸν λέγεται καὶ τὸ ἔχον τὴν ποιότητα· λευκόν γὰρ καὶ τὴν λευκότητα ποιότητα λέγουσι πολλάκις οἱ ἀρχαῖοι, καὶ πάλιν τὸ λευκόν ποιόν. ἡ γὰρ ποιότης οὐκ ἔτι διχῶς λέγεται, ἀλλὰ ἁπλῶς· ἡ γὰρ θερμότης καὶ ἡ λευκότης ποιότης λέγεται, οὐκ ἔτι δὲ καὶ λευκὸν ποιότης. οὐδ' ὅλως τὸ μετέχον ποιότητος ῥηθείη ἂν ποιότης, ἀλλὰ ποιὸν μόνον. ἡ ποιότης δὲ ἂν ῥηθείη καὶ ποιόν.

'Α. Σαφέστερον εἰπέ, ὃ λέγεις.

'Ε. Ἔστι τὸ μέν τι λευκότης, τὸ δὲ ἔχον τὴν λευκότητα. ἡ μὲν λευκότης καὶ τὸ ἔχον τὴν λευκότητα ῥηθείη ἂν ποιόν, τὸ δὲ ἔχον τὴν λευκότητα ποιὸν μὲν λέγεται, ποιότης δὲ οὐκ ἂν ῥηθείη.

'Α. Διὰ τί οὖν ἐπέγραψεν Περὶ ποιοῦ καὶ ποιότητος;

'Ε. Τινὲς μὲν οὔ φασιν αὐτοῦ εἶναι τὸ ἐπίγραμμα· μηδὲ γὰρ ἐν ταῖς ἄλλαις κατηγορίαις προσγράψαι, ἀλλ' ἄνευ ἐπιγράμματος τεχνολογῆσαι περὶ ἑκάστης. τινὲς δὲ εἰς ἔνδειξιν τῆς χρήσεως τῶν ὀνομάτων· διὰ γὰρ τὸ τὴν ποιότητα λέγεσθαι καὶ ποιόν, διὰ τοῦτο ἐπιγράψαι σημαίνοντα ὅτι ἀδιάφορόν ἐστι ποιότητα λέγειν τὴν κατηγορίαν ἢ ποιόν· εἰ γὰρ τὸ μάλιστα ποιὸν οὐ τὴν ποιότητα μόνον σημαίνει ἀλλὰ καὶ τὸ ἔχον αὐτήν, ἀναγκαῖον 44v ἦν εἰδέναι, ὅτι κατά τι σημαινόμενον ταῦτα δηλοῦται ἐκ τοῦ τῆς ποιότητος ὀνόματος καὶ τοῦ ποιοῦ.

'Α. Πῶς ὑπέγραψε τὴν ποιότητα ὁ Ἀριστοτέλης;

'Ε. Ποιότης ἐστὶ καθ' ἣν τινες ποιοὶ λεγόμεθα.

---

1 tit. Εἰς τὸ ποιὸν καὶ τὴν ποιότητα M: περὶ τοῦ ποιοῦ p 2 post Μετὰ add. δὲ p: om. M 12 λευκὸν ex Felic. correxi: ποιὸν Mp (cf. Simpl. f. 54r2 καὶ γὰρ τὴν λευκότητα λευκὸν οἱ ἀρχαῖοι λέγουσι) 13 λέγουσι πολλάκις οἱ Zp: oblitter. M 13. 14 ἡ γὰρ—διχῶς Zp: oblitter. M 16 μόνον M: μόνως p 20. 21 τὸ δὲ ἔχον—ῥηθείη M: om. p 22 καὶ M: ἢ p 23 μὴ δὲ paene oblitter. M: οὔτε p: lac. Z 26. 27 ἀδιάφορόν ἐστι Zp: —ρόν ἐστι oblitter. M 27 εἰ Zp: ἡ M 28 ἔχον M: ἔχειν p ἀναγκαῖον] ἀ oblitter. M: ante ἀναγκ. lac. Zp 29 δηλοῦται partim oblitter. M: δηλονότι p 32 ποιοί τινες colloc. p an λέγονται?

ʼΑ. Καὶ πῶς οὐκ ἄτοπον ὑπογράψαι βουλόμενον ...... ποί .... διὰ τὸ εἶναι ἄδ.......... δ................. δου..... δ.......... .... γα(?)... γε.......... γενοσ(?)....... καὶ τὸ ποιὸν τὸ ἀπ................. τ. φυσική ....λισιν πε.......... ..... κ..έ..ν τ.. τί ....ο............................ ἔστι δὲ ποιὸν τὸ ἔχον ποιότητα, δῆλον ὡς καὶ τὸν γνῶναι θέλοντα, τί ἐστι ποιόν, ἀναπέμψει εἰς τὴν ποιότητα. καὶ οὕτως γίνεται ποιότης μὲν ἣν ἔχει ὁ ποιός, ποιὸς δὲ ὁ ἔχων ποιότητα. ἄδηλον δὲ τίς ἡ ποιότης καὶ ὅμοιον τῷ ἐρομένου τινὸς τί ἐστι ποιότης ἀποκρίνεσθαι, ὅτι ποιότης· εἰ γὰρ ἡ ποιότης διὰ τοῦ ποιοῦ δείκνυται, τὸ δὲ ποιὸν διὰ τῆς ποιότητος, ἡ ποιότης ἔσται διὰ τῆς ποιότητος ἀποδεδειγμένη. ἀλλ' εἰ μὲν ὁρισμὸς ἦν ἀποδεδομένος, ὑπῆρχεν ἁμάρτημα τὸ τοιοῦτον, ἐπεὶ δὲ οὐκ ἔστιν ὁρισμός τῶν ἀνωτάτων, οὐ χρὴ αἰτιᾶσθαι· διὰ γὰρ τοῦ γνωριμωτέρου τὸ ἧττον γνώριμον παρέστησεν· μᾶλλον γὰρ γνώριμον τὸ ποιὸν τῆς ποιότητος, τὸ γὰρ λευκὸν τῆς λευκότητος γνωριμώτερον καὶ ὁ γραμματικὸς τῆς γραμματικῆς.

ʼΕ. ʼΑλλ' εἰ τὰ ὁμωνύμως λεγόμενά φησιν αὐτὸς πλεοναχῶς λέγεσθαι, πῶς πλεοναχῶς λέγεσθαι τὴν ποιότητά φησιν ὁ ʼΑριστοτέλης;

ʼΑ. Οὐχὶ τῶν ὁμωνύμων λέγω ἂν εἶναι τὴν ποιότητα· τῶν δὲ ὁμωνύμων κατὰ ταὐτὸν οὐδὲν δήπου γένος, ὥστε οὐδὲ τῆς ποιότητος ἓν ἂν εἴη γένος. ἀλλὰ τὸ πλεοναχῶς λέγεσθαι ἓν μὲν σημαίνει τὸ ὁμωνύμως, ἕτερον δὲ τὸ διαφόρως λέγεσθαι. νῦν δὲ οὐ τὸ σημαῖνον τὸ ὁμωνύμως λέγεσθαι εἴληπται ἀλλὰ τὸ διαφόρως. εἰ μὲν οὖν τὸ πλεοναχῶς εἴληπτο ἀντὶ τοῦ ὁμωνύμως, ἡ διαίρεσις ἐγένετο φωνῆς εἰς σημαινόμενα, ἐπεὶ δὲ τὰ πλεοναχῶς πολλαχῶς εἴληπται ἀντὶ τοῦ διαφόρως, ἡ διαίρεσις αὐτῷ γίνεται γένους εἰς εἴδη.

ʼΕ. Διὰ τί λέγεις ὅτι γένους εἰς εἴδη ποιεῖται τὴν διαίρεσιν καὶ οὐ φωνῆς εἰς σημαινόμενα; 45r

ʼΑ. Ὅτι ἐπήγαγεν· ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις λεγέσθωσαν, ἀλλ' οὐχὶ ἔφη· ἓν μὲν οὖν σημαινόμενον ποιότητος· τὰ μὲν γὰρ ὁμώνυμα εἰς σημαινόμενα διαιρεῖται διάφορα, τὰ δὲ μὴ ὁμώνυμα ἀλλὰ γένη εἰς εἴδη διαιρεῖται διάφορα. εἰδῶν δὲ μέμνηται διαφόρων, ἀλλ' οὐχὶ σημαινομένων. ὥστε τῷ πολλαχῶς λέγεσθαι οὐ τὸ ὁμωνύμως λέγεσθαι παρίστησιν ἀλλὰ τὸ διαφόρως.

ʼΕ. Πόσα ποιότητος εἴδη;

---

1 post βουλόμενον extremi V versus folii maximam partem oblitter. M: lac. Zp (cf. Simpl. f. 54v4) 7 ἀναπέμψει M: ἀναπέμψαι p 9 ἐρομένου Zp: ἐρωμένω M ἀποκρίνεσθαι M: ἀποκρίνασθαι p 11. 12 ὡρισμὸς M 12 τοιοῦτον Zp: oblitter. M 12. 13 ἀνατάτων] ἀνω^{τ}τά M: ἀνωτάτω Zp (cf. p. 121,24) 13 αἰτιᾶσθαι M: αἰτιάσασθαι p γνωριμοτέρου M 17 φησιν Zp: φασιν M 18 ἂν M: om. p 18. 20 τῶν δὲ ὁμωνύμων—γένος transponas post λέγεσθαι (v. 16. 17) 23 φωνῆς p: φωνὴ M 24 εἴληπται Zp: oblitter. M 26 Διὰ τί λέγεις supplevi: εἴδη—ὅτι in spatio XV—XX litterarum oblitter. M: εἴδη et ὅτι lacuna IX litter. relicta exhibent Zp 27 τὰ σημαινόμενα p 31 μὴ M: om. p 32 τῷ p: τὸ M

’Α. Τέσσαρα.

’Ε. Τίνα ταῦτα;

’Α. Ἓν μὲν ἕξις καὶ διάθεσις.

’Ε. Ἆρα ⟨οὖν⟩ ὡς εἴδη ταῦτα διαφέρει ἀλλήλων, ἕξις καὶ διάθεσις, ἢ ἀριθμῷ ἀλλήλων διενήνοχεν;

’Α. Ὡς μὲν εἴδη ἀλλήλων οὐ διενήνοχεν ὥσπερ ὁ ἄνθρωπος τοῦ βοός· οὐ γὰρ διαφέρει ἀλλήλων εἰδοποιοῖς διαφοραῖς ὥσπερ ὁ ἵππος τοῦ ἀνθρώπου. ἀριθμῷ δὲ ἀλλήλων διενήνοχεν ὥσπερ Σωκράτης Πλάτωνος· εἰδοποιοῖς μὲν γὰρ διαφοραῖς οὐ διενήνοχεν Σωκράτης Πλάτωνος, ἰδιότητι δὲ συνδρομῆς ποιοτήτων, καθ’ ἣν εἰδοποιῷ διενήνοχεν Πλάτων Σωκράτους. ὥσπερ οὖν τὸ λευκὸν τὸ πολυχρονιώτερον τοῦ ἐφημέρου λευκοῦ τῷ εἴδει μὲν οὐ διαφέρει (καθὸ γὰρ λευκόν ἐστι, οὐ διαφέρει)· χρόνῳ δὲ διαφέρει, ἑκατέρου δὲ ὁ αὐτὸς λόγος (ἄμφω γὰρ χρώματά ἐστι διακριτικὰ ὄψεως, ἐπεὶ κἂν μέλι μέλιτος ᾖ γλυκύτερον, οὐδὲν ἧττόν ἐστιν μέλι)· ⟨οὕτως ἡ⟩ ἕξις εἰ καὶ ὅτι μάλιστα μονιμωτέρα ἐστὶ τῆς διαθέσεως, τῷ μὲν μονιμωτέρα εἶναι δόξειεν ἂν διαφέρειν τῆς διαθέσεως, οὐ μὴν τῷ γε εἶναι ποιότης . . . . τοῦ πυκτεύειν ἐπιστήμη. ὁ δὲ πυκτικὸς οὐδέπω ἐπίσταται, ἐπιτηδείως δὲ ἔχει πρὸ τοῦ ἀναλαβεῖν τὴν πυκτικὴν ἐπιστήμην. λέγω τοίνυν ἀνονόμαστον εἶναι τὴν φυσικὴν δύναμιν καὶ ὅλως ἀνώνυμον τὸ τῆς ποιότητος εἶδος. † εἴτε ὄνομα αὐτῇ θέσθαι, λέγοιντο ἂν αἱ τοιαῦται ποιότητες διὰ λόγου· ἐπιτηδειότης γὰρ πρὸς τὸ πυκτεύειν ῥηθείη ἄν, ἀφ’ ἧς ὁ πυκτικός, καὶ ἐπιτηδειότης πρὸς τὸ νοσεῖν, ἀφ’ ἧς λέγεται ὁ νοσερὸς καὶ νοσώδης, ὡσαύτως δὲ καὶ ὁ ὑγιεινὸς ἀπὸ 45v τῆς πρὸς τὸ ὑγιαίνειν ἐπιτηδειότητος. ὁ δὲ Ἀριστοτέλης κατὰ δύναμιν καὶ ἀδυναμίαν αὐτοῦ προσηγόρευσεν.

’Ε. Πῶς οὖν τῶν ἐναντίων ἐπιδεκτικός τις ἂν εἴη κατ’ αὐτό; ἐναντία γὰρ ἡ δύναμις τῇ ἀδυναμίᾳ.

’Α. Οὐδὲν ἄτοπον· ὅση γὰρ δύναμις ὑπάρχει τινός, τόσην καὶ ἀδυναμίαν εὑρήσομεν παρακολουθοῦσαν. εἰ γάρ τις δύναμιν τυγχάνει ὑγείας ἔχων, οὗτος ἀδυναμίαν ἂν ἔχοι τοῦ ῥᾳδίως νοσῆσαι, καὶ ὅταν τοῦ γενέσθαι πυκτικὸν ὑπάρχῃ δύναμις, τούτῳ τοῦ μὴ γενέσθαι πρόσεστιν ἀδυναμία.

4 οὖν supplevi: III litt. oblitter. M: οὖν ὡς in lac. om. Zp   6 ὡς Zp: oblitter. M ὁ M: om. p   7 ὁ ἵππος M: ἵππος p: an ὁ βοῦς?   8. 10 ἀριθμῷ δὲ—Σωκράτους miserrime corrupta sunt; cf. Simpl. f. 59r29 ἀλλ’ οὐδὲ ἀριθμῷ διαφέρει ἀλλήλων ὥσπερ Σωκράτης Πλάτωνος· οὐδὲν γὰρ ἰδιάζον πλῆθος συνδραμὸν τὴν κατ’ ἀριθμὸν διάστασιν ἀπειργάσατο· ἀλλὰ χρόνῳ διαφέρει ὡς τὸ ὀλιγοχρόνιον λευκὸν τοῦ πολυχρονίου   9 μὲν γὰρ M: om. p   10 ante εἰδοποιῷ add. οὐκ p: om. M   13 ὄψεως Zp: oblitter. M
14 ᾖ Zp: εἶ M   οὕτως ἡ inserui: VI fere litterae oblitter. M: in lac. om. Zp
15 τῷ p: oblitter. M: ὅτι Z   16 οὐ μὴν τῷ γε εἶναι ποιότης ante lacunam Zp: LV fere litterae oblitter. M, sed defectus videtur maior esse, proxima ante τοῦ πυκτεύειν consumpta colligere licet ex p. 135,5. Simpl. f. 62v43   18 an πρὸς τὸ ἀναλαβεῖν?
19 ἀνονόμαστον Zp: ἀνονό— oblitter. M   20 εἴτε] corrigas εἰ δὲ   αὐτῇ] an χρή?
25 an αὐτὸ vel αὐτάς?   26 κατ’ αὐτὸ] corrigas κατὰ τὸ αὐτὸ   26. 28 ante Οὐδὲν distinxi: ante ἐναντία M²p   30 ὅταν ⟨τινὶ⟩ conieci: ὅτῳ ἂν Diels   31 πυκτικὸν scripsi: πυκτικὸς Mp   ὑπάρχῃ p: ὑπάρχει M   μὴ ADp: oblitter. M: μὲν C

Ἐ. Πῶς οὖν τοῦτο εἴρηκεν ὁ Ἀριστοτέλης;

Ἀ. Ἐν τῷ λέγειν ὑγιεινοὶ δὲ λέγονται τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ μηδέν τι πάσχειν ὑπὸ τῶν τυχόντων ῥᾳδίως, ὡς εἰ ἔλεγεν ‘τῷ ἀδυναμίαν ἔχειν τοῦ πάσχειν τι ῥᾳδίως ὑπὸ τῶν νόσων’.

Ἐ. Διὰ τί οὖν ἐν τῷ εἰρημένῳ εἴδει τῶν ποιοτήτων ὁ Ἀριστοτέλης ἔταξεν καὶ τὸ σκληρὸν καὶ μαλακόν;

Ἀ. Ὅτι τὸ μὲν σκληρὸν δύναμιν ἔχει τοῦ μὴ ἂν διακοπῆναι ῥᾳδίως· οὐδὲν γὰρ τῶν ἐν γενέσει καὶ φθορᾷ σῶμά ἐστι, μὴ ἂν κατακοπείη· τὸ δὲ μαλακόν, ὅτι δύναμιν ἔχει τοῦ ῥᾳδίως ἂν διακοπῆναι.

Ἐ. ⟨Τί δὲ⟩ τρίτον γένος ποιότητος;

Ἀ. Παθητικαὶ ποιότητες καὶ πάθη.

Ἐ. Τί οὖν βούλεται τὸ παθητικὰς εἶναι ποιότητας καὶ πάθη;

Ἀ. Ὅτι τὸ εἶδος τουτὶ τῆς ποιότητος πάθους παράστασιν ἔχει, οὐ μέντοι κατὰ τὸ αὐτὸ οὐδὲ καθ' ἕνα τρόπον.

Ἐ. Σαφῶς δεῖξον ὃ λέγεις.

Ἀ. Εἰσί τινες ποιότητες, αἳ πάθη ἐμποιοῦσι τοῖς αἰσθητοῖς ζῴοις κατὰ τὰς αἰσθήσεις· καὶ αὗται εἰκότως παθητικαὶ ποιότητες λέγονται. ἄλλαι δὲ πάλιν, αἵτινες ἀπὸ πάθους ἐν τοῖς ἔχουσιν αὐτὰς γεγένηνται, οἷον γλυκύτης καὶ πικρότης καὶ στρυφνότης. ὅτι μὲν ποιότητές εἰσι δῆλον· ποιὰ γὰρ κατὰ ταύτας τὰ δεδεγμένα αὐτὰς λέγεται· γλυκὺ γὰρ τὸ μέλι λέγεται ἀπὸ τῆς γλυκύτητος καὶ στρυφνὸς ὁ οἶνος ἀπὸ τῆς στρυφνότητος λέγεται καὶ πικρὸν τὸ ἀψίνθιον ἀπὸ τῆς πικρότητος. παθητικαὶ δὲ ποιότητες αὗται λέγονται τῷ πάθη ἐμποιεῖν ταῖς αἰσθήσεσιν, καὶ ἡ θερμότης δὲ καὶ ἡ ψυχρότης οὐ τῷ αὐτὰς πεπονθέναι ἢ τὸ κατὰ ταύτας ποιόν, ἀλλὰ τῷ 46r πάθος ἐν ἑτέρῳ ἐργάζεσθαι.

Ἐ. Τοῦτο μὲν οὖν τὸ εἶδος τῆς ποιότητος ἀπέδειξας· πῶς δὲ παθητικαὶ πάλιν ποιότητες λέγονται, δεῖξον.

Ἀ. Ἡ λευκότης φημὶ καὶ ἡ μελανία καὶ αἱ ἄλλαι χροιαὶ παθητικαὶ ποιότητες λέγονται τῷ πεπονθέναι τὰ ἔχοντα· ὠχρὸς γάρ τις φοβηθεὶς καὶ ἐρυθρὸς αἰσχυνθεὶς παθόντος τοῦ σώματος ἐγένετο. ὥσπερ οὖν κατὰ πάθος τὸ ἀπὸ τῆς αἰσχύνης ἐρυθριᾶσαι ἢ ἀπὸ φόβου ὠχριᾶσαι, οὕτως καὶ ἀπὸ πάθους φυσικοῦ συμβαίνειν φησὶ τὸ σῶμα τοιαύτης χροιᾶς τυχεῖν. ἀλλ' ἐπὶ μὲν τὸν φόβον καὶ τὴν αἰσχύνην φαντασίαι προκατάρ-

1 ὁ M: om. p 2. 4 τῷ p: τὸ M 3 μηδέν τι M: μηδὲν p Aristot. 5 ὁ ἀριστοτέλης M: om. p 7 διακοπῆναι Zp: paene oblitter. M 8 ἐστι μὴ ἂν Zp: oblitter. M: ἐστι ⟨ὃ⟩ μὴ ἂν Diels 10 Τί δὲ inserui: IV fere litter. oblitter. M: lac. Z: om. p 13 τῆς ποιότητος Zp: oblitter. M 13. 14 παράστασιν et μέντοι Zp: oblitter. M 14—16 τρόπον—εἰσί τινες Zp: XX fere litterae oblitter. M, unde conicias, σαφῶς δεῖξον ὃ λέγεις inducendum esse et εἰσὶν γάρ τινες scribendum 16 αἰσθητοῖς M: αἰσθητικοῖς p 17 καὶ αὗται] καὶ ταῦ||||| M: κατὰ ταύτας Zp 18 γεγένηται M 19 μὲν M: δὲ Z: om. p εἰσὶ Zp: ἐστὶ M 21 τῆς (prius) M: om. p καὶ στρυφνὸς—λέγεται M: om. p 23 τῷ p: τὸ M 24 κατὰ ταύτας M: κατ' αὐτὰς p τῷ (alterum) p: τὸ M 25 post πάθος add. καὶ p: om. M ἐργάζεσθαι p: paene oblitter. M: ἐργάζονται Z 27 πάλιν post λέγονται colloc. p 31 ἀπὸ M: om. p 33 τὸν φόβον καὶ τὴν αἰσχύνην M: τοῦ φόβου καὶ τῆς αἰσχύνης p (fort. recte)

χουσιν, ἐπὶ δὲ τῶν φυσικῶν ποιοὶ κρᾶσιν. ὅτι δὲ ποιότητες καὶ αὗται, δηλοῖ τὸ ἀπὸ τῆς λευκότητος λευκὸν γενέσθαι καὶ ἀπὸ τῆς μελανίας μέλαν.

Ἐ. Ἆρα οὖν ποιότητες ἁπλῶς πᾶσαι αὗται λέγονται;

Ἀ. Οὐδαμῶς.

Ἐ. Ἀλλὰ τί γνώρισμα ἐπ' αὐτῶν ἔστι θέσθαι;

Ἀ. Τὸ ἐμμόνους καὶ δυσκινήτους εἶναι καὶ πολυχρονίους· οὐ γὰρ ὁ ἐξ ἡλίου μέλας γενόμενος πρὸς ὀλίγον μέλας ἂν εἴη ὡς ὁ ἐκ γενετῆς γενόμενος μέλας, οὐδὲ ὁ δι' αἰσχύνης ἐρυθριάσας ἐρυθρὸς ἂν εἴη ὡς ὁ τοιοῦτος γεννηθεὶς διὰ τοῦτο καὶ καλούμενος ἐρυθρίας. ἐπεὶ τοίνυν ποιοὶ κατὰ τὰς τοιαύτας χροιὰς οὐ γίνονται, οὐδὲ ποιότητες ἂν εἶεν τοιαῦται περὶ τοὺς τὰ τοιαῦτα πάσχοντας, ἀλλὰ πάθη.

Ἐ. Ἐπεὶ τοίνυν ἀποδέδωκας τὰς περὶ τὸ σῶμα παθητικὰς ποιότητας καὶ τὰ πάθη, δεῖξον καὶ ἐπὶ τῆς ψυχῆς τὸ ἀνάλογον.

Ἀ. Φημὶ τοίνυν ποιότητας μὲν εἶναι ἐκ πάθους γεγονυίας, ὅσαι ἐπίμονοι καὶ δυσμετάβλητοι, οἷον φιλαργυρία καὶ ἡ μανικὴ ἔκστασις καὶ ἡ ὀργή· οὐ γὰρ δὴ ὁ ἅπαξ ὀργισθεὶς καὶ ὁ ἐπὶ προσήκουσιν ὀργιζόμενος ὀργίλος ἂν εἴη ἀλλ' ὁ ἐπαχθὴς καὶ τοῦτο πεπονθὼς ἢ διὰ νόσον ἢ διὰ διαστροφήν. δεῖ δὲ ὀργίλον λαμβάνειν .... α πρὸς τὸ ὀργίζεσθαι· αὕτη μὲν γὰρ τοῦ δευτέρου ἂν εἴη .... πρὸς τὸ ὀργίζεσθαι π.......... καὶ ὥσπερ νόσημα τοῦτο ἔχοντα. τοιαῦται δὲ ποιότητες καὶ ἡ φιλία καὶ ἐρωτομανία. πάθη δὲ ἂν εἶεν καὶ οὐ 46v ποιότητες τὰ μὴ ἐπίμονα, * * * ὀργὴ καὶ ἐπιθυμία.

Ἐ. Τίνι οὖν διαφέρουσιν αἱ ποιότητες αὗται τοῦ πρώτου εἴδους † τῶν ἀτόμων;

Ἀ. Ὅτι αἱ μὲν ἦσαν ἐκ διδασκαλίας καὶ ἔξωθεν τελειούμεναι, αἱ ἐπιστῆμαι γὰρ καὶ αἱ ἀρεταὶ ἐκ διδασκαλίας τὸ πλέον λαμβάνουσιν· αὗται δὲ οὐ διὰ διδασκαλίας, ἀλλὰ φύσει τὸ τέλειον ἔχουσιν. ἡ γὰρ μελανία καὶ ἡ λευκότης καὶ ἡ γλυκότης φύσει, ἥ τε οἰνοφλυγία καὶ ἡ φιλαργυρία οὐ διὰ διδασκαλίας, ἀλλὰ διὰ ἐθῶν πονηρῶν ἐγγίνονται αἱ τοιαῦται κακίαι.

Ἐ. Ἀλλ' εἰ φύσει καὶ ἔθεσιν αὗται ἐγγίνονται, πῶς τοῦ ἑτέρου εἴδους διαφέρουσιν;

Ἀ. Ὅτι αἱ μὲν ἐν τῇ δυνάμει ἐθεωροῦντο καὶ ἐν ψιλαῖς ταῖς ἐπιτηδειότησιν, αἱ δὲ ἐν τῷ τρίτῳ εἴδει ἐν τῷ τὸ τέλειον ἔχειν ἤδη ὑφίστανται· λευκότης γὰρ καὶ οἰνοφλυγία ποιότητές εἰσιν ἔμμονοι ἤδη ἀπηρτισμέναι καὶ τετελεσμέναι.

7. 8 ὁ (post ὡς) M: om. p 10 γίνονται M: λέγονται p 12 τὰς M: om. p παθητικὰς Zp: oblitter. M 14 μὲν εἶναι ἐκ πάθους Zp: oblitter. M ἐπίμοναι M 15 an ⟨ἡ⟩ φιλαργυρία? 17 ἐπαχθὴς M: ἐπαχθεὶς p 18 post λαμβάνειν XX fere litterae, quarum extrema α etiam apparet, oblitter. M: lac. Zp; inseras οὐ τὸν ἐπιτηδείως ἔχοντα 19. 20 πρὸς τὸ ὀργίζεσθαι π (ceteris XXII fere litt. ante et post oblitter.) M: lac. Zp; fort. supplendum εἴη ⟨εἴδους· ἀλλὰ τὸν φύσει⟩ πρὸς τὸ ὀργίζεσθαι π⟨εποιωμένον⟩ 21 τοιαῦται M: τοιαῦτα p οὐ M: οὗ p 22 μὴ p: om. M an ⟨οἷον ἡ ἐπ' ὀλίγον⟩ ὀργή? (cf. p. 132,15. Simpl. f. 68r 59) 24 τῶν ἀτόμων] corrigas τῆς ποιότητος, nisi inducere mavis 28. 34 οἰνοφλοιγία M 29 ἐθῶν scripsi: ἠθῶν Mp 33 τὸ M: om. p

'Ε. Ἀλλὰ πῶς ἐν μὲν τῷ πρώτῳ εἴδει τὰς θερμότητας καὶ τὰς ψύξεις καὶ νόσον καὶ ὑγείαν ἐν ταῖς διαθέσεσιν κατηρίθμησεν, ἐνταῦθα δὲ ὡς εἰς ἄλλο εἶδος κἀκείνου διαφέρον πάλιν καταλέγει τὴν θερμότητα καὶ ψύξιν;

'Α. Ὅτι ἐκεῖ μὲν κατὰ τὸ διακεῖσθαί πως τὸ θερμὸν καὶ τὸ ψυχρόν, εἰ καὶ μὴ ἐπιμόνως, διαθέσεις ἔλεγεν, ἐνταῦθα δὲ κατὰ τὸ πάθος ἐμποιεῖν εἰς ἄλλο. τὸ δὲ αὐτὸ κατ' ἄλλο καὶ ἄλλο λαμβανόμενον δύναται ἄλλου καὶ ἄλλου εἶναι εἴδους, ὡς † ὁ πατὴρ καθὸ μὲν Σωκράτης, οὐσία ἂν εἴη, καθὸ δὲ πατήρ, τῶν πρός τι. οὕτω γὰρ καὶ ἡ θερμότης καθὸ μὲν διατίθησί πως τὸ ὑποκείμενον, διάθεσις ἂν εἴη, κἂν ἔμμονος γένοιτο καὶ δυσανάλυτος, ἕξις ἂν γένοιτο, καθὸ δὲ τὴν αἴσθησιν θερμαίνει τῶν πελαζόντων, παθητικὴ ἂν εἴη ποιότης.

'Ε. Ἡ δὲ πρὸς καιρὸν θέρμανσις πάθος οὖσα ἆρά γε ἡ αὐτὴ ἂν εἴη τῇ διαθέσει;

'Α. Ἡ τοῦ μὲν ἔχοντος σώματος καὶ ἐπάγοντος ἄλλῳ τὸ θερμαίνεσθαι ἂν εἴη διάθεσις, τοῦ δὲ θερμαινομένου οὕτως, ὡς ἂν μὴ δύνασθαι ἄλλο σῶμα θερμᾶναι, πάθος ἂν εἴη ἡ πρόσκαιρος καὶ ἐπ' ὀλίγον θέρμανσις, 47r ὥστε πάθους μὲν ἐπίτασιν τὴν διάθεσιν, ἥτις ἂν εἴη καὶ παθητικὴ ποιότης, ἐπίτασιν δὲ τῆς διαθέσεως τὴν ἕξιν καὶ τὴν μάλιστα παθητικὴν ποιότητα.

'Ε. Τί οὖν ἐστι τὸ τέταρτον εἶδος τῆς ποιότητος;

'Α. Σχῆμα καὶ ἡ περὶ ἕκαστον μορφή.

'Ε. Τί οὖν ἐστι τὸ σχῆμα καὶ πῶς αὐτὸ ὡρίσαντο οἱ γεωμέτραι;

'Α. Σχῆμά ἐστι τὸ ὑπό τινος γραμμῆς ἤ τινων γραμμῶν περιεχόμενον.

'Ε. Ἆρα οὖν καθὸ ὑπὸ μιᾶς ἢ τριῶν φέρε ἢ τεσσάρων γραμμῶν περιέχεταί τι χωρίον, ποιότης ἂν εἴη, εἰ ὑπὸ τοσούτων γραμμῶν περιέχοιτο;

'Α. Οὐδαμῶς· ποσότης γὰρ ἂν εἴη ἡ κατὰ πλῆθος ὑπόστασις, οὐ ποιότης.

'Ε. Πῶς οὖν τὸ σχῆμα ἐν ποιότητι ἔταξεν;

'Α. Ὅτι οὐχ ἁπλῶς καθὸ τριῶν γραμμῶν ἀριθμὸς ποιεῖ σχῆμα, ἀλλ' οὕτως πως τεθεισῶν πρὸς ἀλλήλας καὶ γωνιασθεισῶν πρὸς ἀλλήλας· ὅταν γὰρ γραμμαὶ ἀλλήλαις κατὰ γωνίας τρεῖς συναφθεῖσαι χωρίον τι ἀποτέμωσι καὶ περιλάβωσιν αὐτό πως καὶ κατ' αὐτὰς αὐτὸ ἀποπερατώσωσιν, τρίγωνον γίνεται τὸ σχῆμα καὶ ἔστιν ποιότης, οὐ καθὸ τρεῖς ἔχει γωνίας,

2 ὡς εἰς Simpl.c (f. 65v64): ὡσεὶ M: ὡς p 3 κἀκείνου] κἀκεῖνο M: ἐκεῖνου p πάλιν M: παθητικὴν p: τὴν παθητικὴν ποιότητα Simpl.c καταλέγει M Simpl.c: λέγει p 6 post ἄλλο addas παθητικὰς ποιότητας 7 ὡς ὁ πατὴρ] ὡς ὁ Σωκράτης, καθὸ μὲν ἄνθρωπος, οὐσία ἂν εἴη Simpl.c (recte) οὐσία ἂν Zp: oblitter. M 8. 9 καθὸ—ὑποκείμενον Zp: oblitter. M 8 διατίθησι Simpl.c: διατίθεσθαι AD: διατίθεται Cp 9 τὸ om. p γένοιτο M: γένηται p 10 τὴν αἴσθησιν Simpl.c: τῇ αἰσθήσει Zp: oblitter. M τῶν πελαζόντων Z: τὸν πελάζοντα p: oblitter. M 14 ἄλλω τὸ M: ἄλλα τῷ p 15 εἴη ἂν colloc. p 16 ἡ supra scr. M 17 post ἐπίτασιν add. εἶναι p: om. M ἥτις Zp: εἴ τις M 29 ἔταξεν M: ἔταξας p 33 περιλάβωσιν scripsi: λάβωσιν post II litteras oblitter. M: λάβωσιν Zp ἀποπερατώσωσιν Zp: ἀποπερατώσουσαι M 34 ἔχει M: ἔχον p

καθόσον δὲ μορφή τις φαίνεται ἐπὶ ταῖς τρισὶν γραμμαῖς καὶ ταῖς τρισὶ γωνίαις, ποιότης, οὐ κατὰ χρῶμα μὲν ὑφισταμένη πάντως, κατὰ δὲ τὸν τῆς ἐπιφανείας ποιὸν σχηματισμόν. οὕτω καὶ τῆς ὑποκειμένης ἐπιφανείας κυκλοειδῶς γεγονυίας φαίνεται κύκλος καὶ ἔστιν ποιότης ὁ κύκλος. καὶ τὸ τρίγωνον σχῆμα καὶ τὸ τετράγωνον καὶ τὰ ἄλλα πάντα τὰ γεωμετρικὰ εἰς ἕν τι εἶδος ποιότητος ἀνάγονται, ... καταριθμεῖται ὁ Ἀριστοτέλης ἐπὶ τέλει. καὶ ἡ γραμμὴ οὖν καθόσον μῆκος ἀπλατές, ποσότης ἂν εἴη, ἡ δὲ εὐθεῖα γραμμὴ καθόσον εὐθεῖα, ποιότης ἂν εἴη. καὶ ἡ ἐπιφάνεια δὲ καθόσον ἐπιφάνεια, ποσότης· μήκει γὰρ καὶ πλάτει ἡ ἐπιφάνεια ὁρίζεται, ἅ ἐστι τοῦ ποσοῦ. ⟨ἡ δὲ⟩ ἐπίπεδος ἐπιφάνεια καθὸ ἐπίπεδος, εἴη ἂν τοῦ ποιοῦ.

Ἐ. Ἀλλὰ ⟨τί μὲν τὸ⟩ σχῆμα καὶ πῶς ληφθὲν εἴη ἂν ποιότης, εἴ- 47v ρηκας· ἡ μορφὴ δὲ πῶς ποιότης, δεῖξον.

Ἀ. Ἡ μορφὴ διχῶς λέγεται παρὰ τῷ Ἀριστοτέλει· καθ' ἓν μὲν γὰρ σημαινόμενον τὰς οὐσιώδεις μορφὰς λέγει, καθ' ἕτερον δὲ τὰ ἐπὶ τοῖς οὐσιώδεσιν εἴδεσιν ἐπιφαινόμενα καὶ κατὰ τὰς ἐπιφανείας τυπώματα, καθ' ἃ καλά τε λέγομεν καὶ εὔμορφα τὰ εἴδη οὐδὲν ἐφαπτόμενοι τῶν οὐσιωδῶν. κατὰ τὰς τοιαύτας οὖν μορφὰς καὶ ἡ μορφὴ ποιότης ἂν εἴη τῷ σχήματι παραπλησίως.

Ἐ. Τίνας ἄλλας εἴρηκας ποιότητας;

Ἀ. Εὐθύτητα καὶ καμπυλότητα προσθείς· καὶ εἴ τι τούτοις ὅμοιον.

Ἐ. Τίνα οὖν ἄλλα τούτοις ὅμοια;

Ἀ. Οἱονεί τινα ἑλικοειδῆ εἰσιν ἢ κωνοειδῆ ἢ φακοειδῆ καὶ εἴ τι τοιοῦτον ἔχει σχῆμα.

Ἐ. Πόθεν οὖν ὅτι ποιότητές εἰσιν αὗται;

Ἀ. Ὅτι ἀπεδόθη μὲν λόγος τῆς ποιότητος, ὅτι τὰ παρωνομασμένα ἀπ' αὐτῆς ἐστι ποιά· εἰ δὲ ἀπὸ τῶν ἐγκειμένων παρωνομασμένα ἐστὶ ποιά, εἴησαν ἂν ποιότητες, ἀφ' ὧν παρωνόμασται ταῦτα.

Ἐ. Ἀλλ' εἰ τὰ παρώνυμα ἀπό τινων ὡς ποιὰ ποιότητας ἀποφαίνει ἐκείνας, ἀφ' ὧν παρονομάζεται, ἀπὸ δὲ τῆς μανότητος παρωνόμασται τὸ μανὸν καὶ ἀπὸ τῆς πυκνότητος τὸ πυκνόν, ἀπὸ δὲ τῆς λειότητος τὸ λεῖον καὶ ἀπὸ τῆς τραχύτητος τὸ τραχύ, διὰ τί μὴ καὶ τὴν μανότητα καὶ πυκνότητα καὶ λειότητα καὶ τραχύτητα ποιότητας φήσομεν εἶναι;

4 κυκλωειδῶς M ἔστιν M: ἔσται p 6 post ἀνάγονται VII fere litterae oblitter. M: lac. Zp: conicias ὃ εἰκότως (cf. Simpl. f. 67r78) 7 ποσότης Zp: oblitter. M 8 ποιότης—ἐπιφάνεια Zp: oblitter. M 9. 10 ὁρίζεται—ἐπίπεδος] ἅ scripsi et ἡ δὲ supplevi: ἐπίπεδος (ceteris oblitt.) M: ὁρίζεται ὅ ἐστι τοῦ ποσοῦ (ceteris in lac. om.) Zp 10 ἐπίπεδος (alterum) M: ἐπίπεδον p 12 τί μὲν τὸ σχῆμα] τί μὲν τὸ σχ— supplevi: —ῆμα post X litteras oblitter. M: in lac. om. Zp 15 τὰ Zp: τὰς M 16 καθὰ M: καθὸ p 17 λέγομεν M: λεγόμενα p ἐφαπτόμενοι M: ἐφαπτόμενα p 20 corrigas εἴρηκε 21 ὅμοιόν ἐστιν Aristot. 24 εἰσιν M: om. p κονοειδῆ M 28 ποιά Zp: oblitter. M 30 ἀποφαίνει p: ἀποφαίνῃ M 31 παρωνομάζεται M 32 δὲ M: γὰρ p 34 φήσωμεν M

'Α. Ὅτι αἱ τοιαῦται τῶν ὑποκειμένων διαφοραὶ εἴ καί πως ἔχειν αὐτὰ παρέχουσιν, ἀλλ' οὐχὶ κατὰ τὸ ποιὸν εἶναι τὴν προσηγορίαν παρέχουσιν, ἀλλὰ μᾶλλον τὸ κατὰ θέσιν τινὰ ἐπ' αὐτῶν θεωρεῖσθαι τῶν μορίων. πυκνὰ μὲν γὰρ λέγεται τῷ τὰ μόρια σύνεγγυς ἀλλήλων κεῖσθαι, ὡς μηδὲν ἑτερογενὲς σῶμα μεταξὺ αὐτοῦ παρεμπίπτειν δύνασθαι, ὡς ἔχει ἐπὶ τοῦ χρυσοῦ καὶ τοῦ σιδήρου καὶ τῶν τοιούτων σωμάτων. μανὸν δὲ τῷ οὕτως αὐτοῦ διεστηκέναι τὰ μόρια, ὡς ἑτερογενὲς σῶμα δύνασθαι μεταξὺ αὐτῶν παρεμπίπτειν, οἷαί εἰσιν αἱ σπογγίαι καὶ οἱ κισήρεις καὶ τὸ ἔριον. καὶ λεῖον 48r μέν ἐστιν, οὗ τὰ μόρια ἐξ ἴσου ἀλλήλοις σύγκειται οὕτως, ὡς μηδαμῶς τὸ ἕτερον ὑπερέχεσθαι ὑπὸ τοῦ ἑτέρου, τραχὺ δέ, οὗ τὰ μόρια οὕτως ἔχει θέσεως, ὡς ὑπερέχειν τε ἀλλήλων καὶ ὑπερέχεσθαι, ὡς ἔχει τοῦ πρίονος τὰ μόρια.

'Ε. Ἀλλὰ τί ἐκ τῶν ὅρων τούτων συνάγεις;

'Α. Τί δὲ ἄλλο ἢ ὅτι θέσεών εἰσιν εἴδη ἡ μανότης καὶ ἡ πυκνότης καὶ ἡ λειότης καὶ ἡ τραχύτης.

'Ε. Καὶ τί τοῦτο πρὸς τὸ μὴ ποιότητας εἶναι παρίστησιν;

'Α. Ὅτι τὴν θέσιν τῆς τοῦ πρός τι κατηγορίας ἀπέδειξεν. τὸ δὲ μανὸν καὶ τὸ πυκνὸν καὶ τὸ λεῖον καὶ τὸ τραχὺ θέσεις τινές εἰσιν, τῆς τοῦ πρός τι κατηγορίας εἴη καὶ ταῦτ' ἂν καὶ οὐ τοῦ ποιοῦ.

'Ε. Ἆρα οὖν μόνα ταῦτ' ἔστι τὰ εἰρημένα τέσσαρα εἴδη τῆς ποιότητος;

'Α. Ἴσως.

'Ε. Διὰ τί ἔφης ἴσως;

'Α. Ὅτι καὶ ὁ Ἀριστοτέλης ἔφη· ἴσως οὖν καὶ ἄλλος τρόπος φανείη ἂν ποιότητος.

'Ε. Ποῦ οὖν τοίνυν περὶ τούτου ἐζήτησεν;

'Α. Ἐν τοῖς Μετὰ τὰ φυσικά.

'Ε. Διὰ τί οὖν ἐνταῦθα εἴασεν τὴν ἀκριβῆ ζήτησιν;

'Α. Ὅτι πρὸς εἰσαγωγικοὺς ἔγραψε τὴν τῶν Κατηγοριῶν στοιχείωσιν, πρὸς δὲ τοὺς ἤδη τελείους ⟨τὰ⟩ Μετὰ τὰ φυσικά.

'Ε. Ἀλλὰ διὰ τί ἔφη ποιότητες μὲν οὖν αἱ εἰρημέναι, ποιὰ δὲ τὰ κατὰ ταύτας παρωνύμως λεγόμενα ἢ ὁπωσοῦν ἀπ' αὐτῶν; διὰ τί γὰρ οὐκ ἔφη ποιὰ δὲ ⟨εἶναι⟩ τὰ κατὰ ταύτας παρωνύμως λεγόμενα, προσέθηκεν ⟨δὲ ἢ ὁπωσοῦν⟩ ἀπ' αὐτῶν;

1 εἰ καὶ M[1]: εἶναι M[2]p 2 post εἶναι add. καὶ p: om. M 3 τὸ M: τῷ p; an κατὰ τὸ? μορίων scripsi: μορφῶν Mp 4 τῷ p: τὸ M 6 ante τοιούτων add. ποιοτήτων p: om. M τῷ p: τὸ M 7 μεταξὺ paene oblitter. M: κατὰ Zp 8 αἱ κισήρεις scripsi: αἱ κήσηρες M: κίσσηρες p ἔραιον M 10 μόρια οὕτως ἔχει Zp: oblitter. M 11 ὑπερέχειν τε scripsi: ὑπερέχειντaι (sic) M: ὑπερέχειν τι p 12. 13 τὰ μόρια—ὅρων Zp: oblitter. M 14 ἡ πυκνότης Zp: oblitter. M 17. 19 τοῦ (ante πρός) M: τῶν p (utrobique) 17 ante τὸ δὲ add. εἰ p: om. M 23 καὶ (prius) M: om. p ἄλλος ἄν τις φανείη τρόπος Aristot. 25 ποῦ p: τί M 26 Μετὰ τὰ φ.] cf. Δ 14. 1020a 33 29 τὰ addidi 30 οὖν εἰσὶν Aristot. ποιὰ δὲ τὰ Zp: oblitter. M 31 ὁπωσοῦν ἄλλως Aristot. 32 εἶναι supplevi: ||||||αι (IV fere litter. oblitter.) M: lac. Zp 33 προσέθηκεν Zp: προσέθ||||| M δὲ ἢ ὁπωσοῦν supplevi: X fere litt. oblitt. M: lac. Zp

'Α. Ὅτι ἡ συνήθεια ἀνώμαλος.

'Ε. Πῶς καὶ τίνα τρόπον;

'Α. Ἐφ' ὧν μὲν γὰρ καὶ ἡ ποιότης καὶ τὸ ποιὸν ἀμφότερα ὠνόμασται, οἷον γραμματικὴ μὲν ἡ ποιότης, γραμματικὸς δὲ ὁ ποιός, ἀμφότερα ὠνόμασται ταῦτα. ⟨ἐπὶ ἐνίων δὲ ὅτι⟩ μόνον ὠνόμασται ⟨θάτερον⟩, τὸ ποιόν, ἀλλ' οὐχὶ καὶ ἡ ποιότης, ἢ ἡ ποιότης μέν, οὐχὶ δὲ καὶ τὸ ποιόν, ἐπὶ τοῦ δευτέρου εἴδους ἐλέγετο τῆς ποιότητος· αὐταῖς μὲν γὰρ ταῖς φυσικαῖς ἐπιτηδειότησιν ⟨οὐκ⟩ εἰσὶν ὀνόματα, πυκτικὸς δὲ λέγεται καὶ δρομι- 48v κὸς καὶ ὑγιεινὸς οὐκ ἀφ' ἧς ἤδη ἔχει ποιότητος ἀλλ' ἀφ' ἧς ἕξει· ἀπὸ μὲν γὰρ τῆς πυκτικῆς ἐπιστήμης λέγονται οἱ πύκται καὶ ἀπὸ τῆς παλαιστικῆς οἱ παλαισταί, ἀπὸ δὲ τῶν δυνάμεων οὐ παρονομάζονται οἱ πυκτικοὶ καὶ οἱ παλαιστικοὶ ἀλλὰ τῷ ἔχειν ἐπιτηδειότητα τοῦ δέχεσθαι τὰς ἐπιστήμας, ὥστε τὴν προσηγορίαν ἔχειν αὐτοὺς κατὰ τῆς ἐλπίδος· ἐπειδὴ γὰρ ἐλπίζοντες ἔσεσθαι τὴν ἐπιστήμην λαβόντες οἱ μὲν πύκται, οἱ δὲ παλαισταί ⟨εἰσιν⟩, τοὺς μὲν πυκτικούς, τοὺς δὲ παλαιστικοὺς προσαγορεύομεν. τούτους μὲν οὖν ποιοὺς ὄντας οὕτω καλοῦμεν τῆς ποιότητος οὔσης ἀνωνύμου ἐπ' αὐτῶν. ἐφ' ὧν δὲ ἡ μὲν ποιότης ὠνόμασται, ἀπ' αὐτῶν δὲ οἱ παρώνυμοι οὐκ ἔτι λέγονται· τῆς γὰρ ἀρίστης ἕξεως ἀρετῆς καλουμένης ὁ ἀπ' αὐτῆς παρωνύμως οὐκ ἔτι λέγεται· οὔτε γὰρ ἀρεταῖος ἐν τῇ συνηθείᾳ εἴρηται οὔτε ἐνάρετος ῥηθείη ἂν (οὐδὲ γὰρ ἐγγράμματος ὁ ποιὸς ἀπὸ τῆς γραμματικῆς εἴρηται)· ἀλλ' ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος λέγεται ἢ ἀγαθός. ἔτι δὲ ὁπωσοῦν καὶ τὰ τοιαῦτα λέγεται, ὡς ἀπὸ τῆς δικαιοσύνης ὁ δίκαιος, ⟨οὐδὲν⟩ γὰρ λέγεται ἀπὸ τῆς δίκης δίκαιον, καὶ ἀπὸ τῆς σωφροσύνης σωφρόσυνον, ὡς ἀπὸ τῆς εὐφροσύνης εὐφρόσυνος. εὕροι δ' ἄν τις καὶ ἐπὶ ἄλλων πλειόνων τῆς συνηθείας τὴν ἀνωμαλίαν.

'Ε. Ἐπεὶ δὲ ἐν ταῖς ἄλλαις κατηγορίαις τὰ κοινὰ καὶ πρὸς ἄλλας καὶ τὰ ἴδια ἑκάστης ἐζήτησεν, ἆρά γε καὶ ἐνταῦθα πεποίηκεν τὸ ὅμοιον;

'Α. Πεποίηκεν.

'Ε. Πῶς;

'Α. Φησὶ γὰρ ὅτι ὑπάρχει καὶ ἐναντιότης κατὰ τὸ ποιόν.

'Ε. Διὰ τί οὖν ἔφη καὶ ἐναντιότης, ἀλλ' οὐχὶ ἁπλῶς ἄνευ τοῦ καὶ συνδέσμου ὅτι ὑπάρχει ἐναντιότης;

---

3 καὶ (prius) M: om. p 4 μὲν M: om. p 5 ἐπὶ ἐνίων δὲ ὅτι et θάτερον supplevi: XIII et VI litt. oblitter. M: lac. p (cf. Simpl. f. 67v84 ἐπ' ἐνίων δὲ τὸ ἕτερον μόνον ὠνόμασται, τὸ ποιὸν) 6 δὲ M: om. p 8 οὐκ supplevi: oblitter. M: οὐκ εἰσὶν in lac. om. Zp 9 ἤδη M: εἴδη p 10 πύκται scripsi: πυκτικοὶ Mp 11 παρωνομάζονται M 12 τῷ p: τὸ M 13 κατὰ M: ἐκ p 14 παλαισταὶ M: παλαιστικοί p 15 εἰσιν supplevi: oblitter. M: lac. Zp 17 an ἀπ' αὐτῆς? 20 ἐνάρετος ῥηθείη—ἐγγράμματος Zp: oblitter. M 20. 21 ἀπὸ τῆς γραμματικῆς Simpl.: ἐγγραμματικὸς M: κατὰ γραμματικὴν Zp 21 σπουδαῖος Zp: oblitter. M 22 δικαιοσύνης ὁ Zp: oblitter. M 23 οὐδὲν ex accentibus in M servatis conclusit Vitelli: lac. Zp δίκαιον M: δικαίου p post σωφροσύνης lacunam relinquunt Zp 24 εὐφρόσυνος M: εὐφρόσυνον p (fort. recte) 26 καὶ ante τὰ κοινὰ transponas. 30 ὅτι ὑπάρχει Zp: ὅτι ὑπά— oblitter. M

’Α. Ὅτι καὶ ἄλλα ἔδειξε τῇ ποιότητι ὑπάρχοντα· πρὸς οὖν τοῖς ⟨ἄλλοις⟩ εἰδέναι φησὶ χρή, ὅτι καὶ ἐναντιότης αὐτῇ ὑπάρχει.

’Ε. Ἆρα οὖν καὶ πάσῃ καὶ μόνῃ;

’Α. Οὐδαμῶς· ⟨ὅτι μόνῃ⟩ μὲν γὰρ ἡ ἐναντιότης οὐχ ὑπάρχει. δῆλον ἐκ τοῦ καὶ τῇ τῶν πρός τι ⟨προσεῖναι⟩, οὐ πάσῃ δέ, ὅτι οὔτε τῇ κατὰ 49r σχῆμα ποιότητι οὔτε τῷ ὠχρῷ ἢ τῷ ⟨πυρρῷ ἢ τῷ μελαν⟩ίζοντι ἤ τινι ἄλλῃ χροιᾷ ἐστί τι ἐναντίον τῶν μεταξύ. καίτοι τὸ μέλαν τῷ λευκῷ ἐναντίον· ⟨ἄκρα γάρ⟩· τοῖς δὲ μέσοις οὐδὲν ἐναντίον, ὡς εἴρηται.

’Ε. Πῶς τῇ κατὰ σχῆμα ποιότητι οὐκ ἔστι τι ἐναντίον;

’Α. Ὅτι μήτε τῷ τριγώνῳ ἐστί τι ἐναντίον μήτε τῷ τετραγώνῳ σχήματι ἤ τινι τῶν τοιούτων.

’Ε. Ἆρα οὖν καὶ τοῖς ποιοῖς τοῖς κατὰ τὰς ἐπιδεχομένας ποιότητάς τις ἐναντίωσίς ἐστιν;

’Α. Οἷον δικαιοσύνη ἀδικίᾳ ἐναντίον * * * καὶ τὸ λευκὸν [καὶ] τῷ μέλανι ἐναντίον.

’Ε. Κἂν θάτερον ποιὸν ᾖ ⟨τῶν ἐναντίων⟩, ἆρά γε καὶ αὐτὸ ποιὸν ἔσται;

’Α. Ναί.

’Ε. Πῶς.

’Α. Εἰ γὰρ ἡ δικαιοσύνη ἐναντία τῇ ἀδικίᾳ ἐστὶ καὶ ἡ δικαιοσύνη ποιότης, καὶ ἡ ἀδικία πάντως ποιότης ἔσται.

’Ε. Διὰ τί οὖν ἔφη ⟨εἰ⟩ ἡ δικαιοσύνη ἐναντία τῇ ἀδικίᾳ καὶ οὐχὶ ἐπεὶ ἡ δικαιοσύνη ἐναντία τῇ ἀδικίᾳ;

’Α. Ὅτι ἦσάν τινες οἳ τῇ δικαιοσύνῃ οὐκ ἐδίδοσαν ἐναντίαν εἶναι τὴν ἀδικίαν, ἀλλὰ τὴν μὲν ἐναντίαν ἕξιν ἀνώνυμον εἶναι, τὴν δὲ ἀδικίαν στέρησιν εἶναι καὶ οὐχ ἕξιν· τὰς γὰρ ἕξεις καταφατικῶς δεῖν προσαγορεύειν, τὰς δὲ στερήσεις ἀρνητικῶς.

’Ε. Ἆρα οὖν καλῶς διατάττονται οἱ τούτων ⟨λόγοι⟩;

’Α. Οὐδαμῶς· καὶ γὰρ τὰς ἕξεις στερητικῶς προσαγορεύομεν πολλάκις, ὥσπερ τὴν τῇ σωφροσύνῃ ἐναντίαν ἕξιν ἀκολασίαν καὶ τὴν τῇ φρο-

1 ὑπάρχοντα] ||||άρχοντα (ὑπ oblitter.) M: lac. Zp 2 ἄλλοις supplevi: V fere litt. oblitt. M: lac. Zp εἰδέναι Zp: oblitter. M 4 ὅτι μόνῃ supplevi: VII fere litt. oblitt. M: lac. Zp 5 πρός τι προσεῖναι restitui: πρός .... εἶναι M: πρός τι ante lacunam Zp 6 σχῆμα M: τὸ σχῆμα p πυρρῷ—μελανίζοντι supplevi: ....ῶ ἢ τῶ .....ίζοντι M: lac. Zp ἢ (ante τινι) M: καὶ Zp 7 τι M: om. p 8 ἄκρα γὰρ supplevi: oblitter. M: lac. Zp 10 μήτε—μήτε M: οὔτε—οὔτε p τι M: τὸ p τετραγώνῳ Zp: oblitter. M 12 ποιότητας M: lac. Zp post ποιότητας una litt. oblitt. M 14 post ἐναντίον defectum significavi: excidisse videntur καὶ λευκότης μελανίᾳ, ἀλλὰ καὶ τὸ ἄδικον τῷ δικαίῳ (cf. Arist.) καὶ inclusi: τὸ λευκὸν καὶ τῷ μέλανι M: τῷ λευκῷ τὸ μέλαν p 16 τῶν ἐναντίων supplevi: oblitter. M: lac. Zp αὐτὸ] corrigas ex Simpl. τὸ ἐναντίον αὐτῷ 19 πῶς M: om. p 22 εἰ interposui: om. Mp τῇ ἀδικίᾳ καὶ οὐχὶ paene oblitt. M: καὶ δίκαιον οὐχὶ Zp 24. 25 τὴν ἀδικίαν M: τῇ ἀδικίᾳ p 28 λόγοι supplevi: V fere litt. oblitt. M: lac. Zp 29 καὶ scripsi: οὐ Zp: oblitt. M γὰρ τὰς ἕξεις στερητικῶς Zp: oblitter. M 30 τὴν (prius) M: om. p 30 τὴν τῇ φρονήσει paene oblitt. M: τῇ φρονήσει Zp

νήσει ἀφροσύνην καὶ τὴν τῇ ἐλευθεριότητι ἀνελευθεριότητα καὶ τῇ εὐσεβείᾳ τὴν ἀσέβειαν καὶ τῇ ὁσιότητι ἀνοσιότητα, καὶ στερήσεις καταφατικῶς, ὡς τὴν τυφλότητα καὶ κωφότητα καὶ νωδότητα καὶ ὠχρότητα καταφατικῶς προφέρομεν στερήσεις οὔσας.

'Ε. Ἐὰν ζητῶμεν, ἐν ποίῳ γένει .... ἑκάστην ἐν αἷς ἐστιν ἐναντίωσις, πῶς μεθοδεύσομεν τὴν ζητουμένην καὶ ἐν ποίῳ γένει ⟨ἐστίν, εἰ⟩σόμεθα;

'Α. Ληψόμεθα τὸ ἀντικείμενον τοῦ ζητουμένου, ὅ ἐστι γνωριμώτερον, καὶ ἐὰν ληφθῇ ἐν ποίᾳ κατηγορίᾳ κατειλημμένον, εἰσόμεθα ὅτι καὶ τούτου τὸ ἐναντίον ἐν τῇ αὐτῇ κατηγορίᾳ τακτέον ἐστίν. οἷον εἰ τὴν ἀδικίαν ζητοῖ τις ποίας ἐστὶ κατηγορίας, ⟨ληπτέον⟩ τὴν δικαιοσύνην· ἔστι δὲ ἡ δικαιοσύνη ποιότης· καὶ ἡ ἀδικία ἄρα ποιότης ἔσται. ὡσαύτως δὲ καὶ ἐὰν 49v ζητῇ τις ἡ τυφλότης ποίας κατηγορίας ἐστίν, ληπτέον ἡ ὅρασις ποίας κατηγορίας ἐστίν· καὶ εἰ ποιότητος, καὶ ἡ τυφλότης ἐν αὐτῇ εἶναι λέγεται.

'Ε. Ἐπεὶ δὲ καὶ περὶ τοῦ μᾶλλον ⟨καὶ τοῦ ἧττον⟩ ἐζητεῖτο ⟨ἐν ταῖς⟩ φθασάσαις κατηγορίαις εἰ ἐπιδέχονται, φήσομεν ἐπὶ τῆς ποιότητος ἆρά γε ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον;

'Α. Ἐπιδέχεται μέν, ἀλλ' οὔτε μόνη (ἐπεδέχετο γὰρ καὶ τὸ πρός τι), οὔτε πᾶσα (⟨τριγω⟩νότης γὰρ μᾶλλον καὶ ἧττον οὐκ ἂν γένοιτο οὐδὲ κύκλος μᾶλλον καὶ ἧττον οὐδὲ ἡ τελεία ἀρετὴ οὐδὲ τελεία τέχνη)· πολλαὶ δὲ ἄλλαι ποιότητες ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον· λευκὸν γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγεται.

'Ε. Σαφέστερον εἰπὲ καὶ εὐκρινέστερον, εἰ ἐπιδέχονται αἱ ποιότητες καὶ οἱ ἀπ' αὐτῶν ποιοὶ τὸ μᾶλλον καὶ ἧττον.

'Α. Καὶ πῶς ἂν γένοιτο σαφῶς τι περὶ τούτων εἰπεῖν, ὅπου γε πλείονες γεγόνασιν αἱρέσεις περὶ τούτων. οἱ μὲν γὰρ τάς τε ἕξεις τῶν ὑλῶν πάσας καὶ τοὺς ποιοὺς ἐπίτασιν καὶ ἄνεσιν λαμ⟨βάνειν⟩ ἐτίθεσαν, ὡς ἂν καὶ αὐτῆς τῆς ὕλης τὸ μᾶλλον καὶ τὸ ἧττον εἶναι ⟨ἐπιδεχο⟩μένης. ταύτης δὲ τῆς δόξης ἦσάν τινες τῶν Πλατωνικῶν. οἱ δὲ τινὰς μὲν ἕξεις καὶ τοὺς κατὰ ταύτας ποιοὺς ..... ὑπελάμβανον μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ

1 τὴν M: om. p 2 τὴν ante τῇ εὐσεβείᾳ transponas 3 καὶ ὠχρότητα scripsi: καὶ ὠχλ.... M: om. Zp 4 προφέρομεν M: προσφέρομεν p 5 post γένει XVI fere litt. oblitt. M: lac. Zp: si modo sanum ἑκάστην, conicias τί ἐστι, λαβόντες τῶν κατηγοριῶν 6 τὴν ζητουμένην] τὴν εὕρησιν (Simpl. f. 71r 106): an τὴν ζήτησιν? 7 ἐστιν εἰ— supplevi: —σόμεθα post VI fere litteras oblitt. M: lac. Zp 8 τὸ ἀντι— scripsi: τὸ προ— Zp: oblitt. M 9 καὶ ἐὰν ληφθῇ partim oblitt. M: lac. Zp: ex Simpl. corrigas καὶ ἐὰν γνωσθῇ 11 ζητοῖ M: ζητεῖ p ληπτέον scripsi: oblitt. M: lac. Zp 12 ὡσαύτως δὲ καὶ Zp: oblitt. M 13. 14 κατηγορίας ἐστίν· καὶ εἰ Zp: oblitter. M 14 ποιότητος M: ποιότης p τυφλότης M: ποιότης p 15 καὶ τοῦ ἧττον inserui: om. Mp ἐν ταῖς supplevi: V litt. oblitt. M: om. Zp 16 φθασάσαις] φθάσασι Mp 17 ἐπιδέχεται τὸ M: lac. Zp 18 καὶ τὸ πρός τι paene oblitter. M: lac. Zp 19 πᾶσα M: ποσὰ p τριγωνότης Vitelli: .....νότης M: lac. Zp οὐδὲ M: οὔτε p 20 τελεία τέχνη M: ἡ τελεία τέχνη p an ⟨καὶ⟩ πολλαί? 21 τὸ ἧττον M: ἧττον p 27 λαμβάνειν] λαμ.... M: lac. Zp 28 ἐπιδεχομένης] ἐ.....μένης M: lac. Zp 30 post ποιοὺς V fere litt. oblitt. M: lac. Zp: an τελείους? τὸ μᾶλλον καὶ τὸ ἧττον M: om. p

τὸ ἧττον ὡς ⟨τὰς ἀρετὰς καὶ⟩ τοὺς κατὰ ταύτας ⟨ποιούς, τινὰς δὲ ἕξεις⟩ καὶ ποιοὺς ἐπιδέχεσθαι ἐπίτασιν καὶ ἄνεσιν, ὡς πάσας ⟨τὰς μέσας⟩ τέχνας καὶ τὰς μέσας ποιότητας καὶ τοὺς κατὰ ταύτας ποιούς. ἧς γεγόνασι δόξης οἱ ἀπὸ τῆς Στοᾶς. τρίτη γέγονεν. ἧς καὶ ὁ Ἀριστοτέλης μέμνηται, ἣ τὰς μὲν ἕξεις ἀνεπιτάτους καὶ ἀνανέτους ὑπελάμβανεν εἶναι, τοὺς δὲ κατ' αὐτὰς ποιοὺς ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐ πάντας μέντοι.

Ἐ. Πῶς οὖν ταύτης φῂς τὸν Ἀριστοτέλη μνήμην ποιεῖσθαι τῆς αἱρέσεως;

Ἀ. Φημὶ ὅταν λέγῃ· ἔνιοι δὲ ἀμφισβητοῦσιν δικαιοσύνην μὲν δικαιοσύνης οὐ πάνυ τι συγχωροῦντες μᾶλλον καὶ ἧττον λέγεσθαι οὐδὲ μὴν ὑγείαν ὑγείας, ἧττον μέντοι ἕτερον ἑτέρου ὑγείαν λέγοντες ἔχειν. καὶ δικαιότερον καὶ ὑγιεινότερον. καὶ τρίγωνον μέντοι καὶ τετράγωνον μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον οὐδὲ τῶν
ἄλλων σχημάτων οὐδέν. τὰ μὲν γὰρ ἐπιδεχόμενα τὸν τοῦ τρι- 50r
γώνου λόγον καὶ τὸν τοῦ κύκλου λόγον πάντα ὁμοίως τρίγωνα καὶ κύκλοι εἰσίν. τῶν δὲ μὴ ἐπιδεχομένων οὐδὲν ἕτερον ἑτέρου μᾶλλον ῥηθήσεται· οὐθὲν γὰρ μᾶλλον τὸ τετράγωνον τοῦ ἑτερομήκους κύκλος ἐστίν· οὐδέτερον γὰρ ἐπιδέχεται τὸν τοῦ κύκλου λόγον.

Ἐ. Ἆρα οὖν καὶ τετάρτην τινὰ ἱστορήσειας δόξαν περὶ τῆς ἐν τοῖς ποιοῖς καὶ ταῖς ποιότησιν ἐπιτάσεως καὶ ἀνέσεως;

Ἀ. Ναί.

Ἐ. Καὶ τίς αὕτη;

Ἀ. Ἦν γάρ τις ἣ τὰς μὲν ἀύλους καὶ καθ' αὑτὰς ποιότητας μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἔλεγεν, τὰς δὲ ἐνύλους πάσας καὶ τοὺς κατ' αὐτὰς ποιοὺς ἐπιδέχεσθαι.

Ἐ. Καὶ ὀρθῶς γέ σοι ἐδόκουν οὗτοι λέγειν;

Ἀ. Οὐδαμῶς.

Ἐ. Διὰ τί;

Ἀ. Ὅτι αἱ ἄυλοι ποιότητες καὶ καθ' αὑτὰς ὑφεστηκυῖαι οὐκ εἰσὶ ποιότητες ἀλλ' οὐσίαι, καὶ διὰ τοῦτο ἐπίτασιν οὐκ ἐπιδέχονται, διότι οὐδὲ αἱ ἄλλαι οὐσίαι.

Ἐ. Ποῖον οὖν ὁ Ἀριστοτέλης καθόλου δέδωκεν θεώρημα εἰς τὸ

1 ὡς—ἕξεις oblitter. M τὰς ἀρετὰς καὶ inserui: om. Zp (cf. Simpl. f. 72v114) ποιούς, τινὰς δὲ ἕξεις supplevi: in lac. om. Zp 2 πάσας τὰς μέσας] τὰς μέσας supplevi: πασ... μ... M: πάσας ante lac. Zp 4 post τρίτη add. δὲ p: om. M ὁ M: om. p 5 ἀνανέτους M: ἀνέτους p 7 ἀριστοτέλη Zp: ἀρισ...... M μνήμην M: μνείαν p ποιεῖσθαι Zp: oblitt. M 10 οὐ πάνυ Zp: ....νυ M 11 ὑγείαν (alterum) M: ὑγείας p 13 post μᾶλλον add. καὶ τὸ ἧττον p: om. M 14 τοῦ (ante τριγώνου) Zp: om. M 15. 16 τρίγωνακ αὶ κύκλοι Zp: oblitt. M 17 τὸ M: ὃν p 17. 18 ἑτερομικοὺς (sic) M 18. 19 κύκλου λόγον Zp: oblitt. M 20 τετάρτην τινὰ Vitelli: τετάρτην τὴν M: lac. Zp 24 Ἦν] ἦν M: εἰ p ἣ] ἢ Mp 27 γέ M: δέ p 30 ἄυλοι scripsi: ἔνυλοι Mp 33 δέδωκεν θεώρημα καθόλου colloc. p

εὑρίσκειν, ⟨τίνα οὐκ ἂν⟩ ἐπιδέχοιτο τὸ μᾶλλον καὶ τὸ ἧττον τῶν σχημάτων
καὶ τίνα οἷά τ' ἂν ἐπιδέχεσθαι;

'Α. ⟨'Αποδείκνυσιν⟩ ὅτι ὅσα μὲν οὐκ ἐπιδέχεται τὸν τοῦ προκειμένου
λόγον, ταῦτα οὐ δύναται λέγεσθαι μᾶλλον καὶ ἧττον· οἷον τὸ τρίγωνον οὐκ
ἐπιδέχεται τὸν τοῦ τετραγώνου λόγον οὐδὲ τὸ τετράγωνον τοῦ κύκλου, 20
καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐν αὐτοῖς τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ μέντοι
λευκὸν ἱμάτιον καὶ ἡ χιὼν καὶ πολλὰ λευκὰ ἐπιδέχεται ⟨τὸν τοῦ λευκοῦ
λόγον⟩· ἐν τούτοις οὖν τὸ μᾶλλον καὶ τὸ ἧττον.

'Ε. Ἆρα οὖν πάντα τὰ τὸν αὐτὸν λόγον ἐπιδεχόμενα ἐπιδέχεται τὸ
μᾶλλον καὶ ἧττον;

'Α. Οὐδαμῶς· ἐπιδέχονται μὲν γὰρ ἅπαντες οἱ κατὰ μέρος ἄνθρωποι 25
τὸν τοῦ ἀνθρώπου λόγον, ἄνθρωπος δὲ ἀνθρώπου μᾶλλον καὶ ἧττον οὐκ
ἔστιν ἄνθρωπος. τὸ δὲ μὴ ἐπιδεχόμενον τὸν αὐτὸν λόγον ἀδύνατον τὸ
μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι. πρὸς γὰρ ⟨τὰ ἐν τῷ αὐτῷ λόγῳ⟩ καὶ αἱ
συγκρίσεις αἱ κατὰ τὸ μᾶλλον καὶ ἧττον, οὐ πρὸς τὰ ἐκ⟨βεβηκότα τὸν 30
αὐτὸν λόγον⟩.

'Ε. 'Αλλ' εἰ μηδὲ τοῦτο ἴδιον τῆς ποιότητος, τί ἂν εἴη ταύτης ἴδιον;

'Α. Τὸ ὅμοιον καὶ ἀνόμοιον· κατὰ μόνας γὰρ τὰς ποιότητας ὅμοιον 50v
ἕτερον ἑτέρου λέγεται, τὸ δὲ ὅμοιον εἶναι ἢ ἀνόμοιον κατὰ μόνας τὰς ποιό-
τητας κατηγορεῖται· ὥστε ἂν εἴη ἴδιον ποιότητος τὸ ὅμοιον καὶ ἀνόμοιον
λέγεσθαι.

'Ε. 'Απορήσειεν δέ τις, πῶς διεξιὼν τὰ εἴδη τῶν πρός τι καὶ τὰς
ἕξεις συγκατέλεξεν αὐτοῖς, ἐν δὲ τοῖς περὶ ποιότητος εὐθὺς ἓν εἶδος ποιό- 5
τητος ἔφη εἶναι ἕξιν καὶ διάθεσιν· ⟨ἡ γὰρ ἕξις⟩ δύο κατηγοριῶν ἔσται, καὶ
τῆς τῶν πρός τι καὶ τῆς ποιότητος, καὶ συμβήσεται μίαν ⟨οὖσαν⟩ τὴν ἕξιν
ἑτέραις τῷ εἴδει χρῆσθαι ταῖς διαφοραῖς· τῶν γὰρ ἑτερογενῶν καὶ μὴ
ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί. δεῖ οὖν τινα αἰτίαν 10
εὑρεῖν, ἥτις τὴν τοιαύτην ἀπορίαν λύσει.

'Α. 'Αλλὰ καὶ ὁ 'Αριστοτέλης ἔγνω, ὅτι τοῦτο ταράξει πολλούς, καὶ
δύο λύσεις εἰσκεκόμικε τῆς ἀπορίας.

---

1 εὑρήσκειν M τίνα οὐκ ἂν supplevi: abscis. M: lac. X fere litt. Zp ἐπιδέχοιτο Zp: abscis. M σχημάτων scripsi: πραγμάτων Mp 2 οἷα τ' M: οἷοιτ' p 3 ἀποδείκνυσιν ex Simpl. supplevi: abscis. M: lac. XII fere litt. Zp ὅτι ὅσα μὲν οὐκ ἐπι— Zp: abscis. M 4. 5 οἷον—τετραγώνου Zp: abscis. M 5 οὐδὲ M: οὔτε p an ⟨τὸν⟩ τοῦ κύκλου? 6 οὐκ—μέντοι Zp: abscis. M 7. 9 τὸν τοῦ—πάντα abscis. M τὸν τοῦ λευκοῦ λόγον ex Simpl. supplevi: lac. X fere litt. Z: om. p 11 οὐδαμῶς Zp: oblitt. M ἅπαντες M: πάντες p 14 τὰ ἐν τῷ αὐτῷ λόγῳ supplevi: accentus servavit M: lac. Zp (ὑπὸ τὸν αὐτὸν λόγον Simpl. f. 72v115) 15. 16 ἐκ⟨βεβηκότα τὸν αὐτὸν λόγον⟩ ex Simpl. supplevi: oblitt. M: lac. Zp 18 καὶ ἀνόμοιον Zp: oblitt. M 19 μόνας τὰς ποιότητας κατηγορεῖται M: τῶν ποιοτήτων μόνον Zp 20 εἴη ἂν colloc. p 21 λέγεσθαι M: lac. Z: om. p 22 δέ τις M: δὲ ἄν τις p 23 συγκατέλεξεν αὐτοῖς M: lac. Zp 24 ἕξιν καὶ διάθεσιν p: ἕξις καὶ διάθεσις M ἡ γὰρ ἕξις supplevi: oblitt. M: lac. Zp 25 οὖσαν ex Simpl. supplevi, fort. γε οὖσαν conicias, nam VII fere litterae oblitt. M: lac. Zp 27 τεταγμένων Zp: oblitt. M 30 εἰσκεκόμικε M: κεκόμικεν p

Ἐ. Τίνας ταύτας λέγει;

Ἀ. Μίαν μέν, ὅτι πολὺ διενήνοχε .... καθ' ἕκαστον· γένος μὲν γὰρ ἡ ἐπιστήμη, εἶδος δὲ ἡ γραμματική, καὶ ἔτι γε ἄτομον Ἀριστάρχου γραμματική. ἡ μὲν οὖν ἀναβεβηκυῖα πασῶν τῶν εἰδικῶν καὶ τῶν μερικῶν ἐπιστημῶν ἐπιστήμη καὶ ἕξις τῶν πρός τι εἶναι ἐρρέθη, αἱ δὲ εἰδικαὶ ἐπιστῆμαι καὶ ἔτι γε μᾶλλον αἱ ἄτομοι καὶ μερικαὶ ποιότητες ⟨ἂν εἶεν⟩. ἥ τε γὰρ ἄτομος γραμματικὴ ⟨οἷον⟩ ἡ Ἀριστάρχου καὶ ἡ ἄτομος μουσικὴ οἷον ἡ Ἀριστοξένου καὶ ἡ ἄτομος ἰατρικὴ οἷον ἡ Ἱπποκράτους ποιότητες ἂν εἶεν καὶ οὐδαμῶς τῶν πρός τι· ⟨οἱ γὰρ κατ'⟩ αὐτὰς ποιοὶ ἀπ' αὐτῶν λέγονται. ποιότητες δὲ ἦσαν, καθ' ἃς οἱ ποιοὶ παρονομάζονται ⟨ἢ ὁπωσοῦν⟩ ἄλλως λέγονται ἀπ' αὐτῶν. εἰ δέ τις αὐτὰς τῶν πρός τι εἶναί φησιν, ... πρός τι εἶναι ἀλλὰ πρὸς τὸ γένος αὐτῶν. ἡ γὰρ γραμματικὴ ἐλέγετό τινος ἐπιστήμη, ἀλλ' οὐχὶ [ἡ γραμματικὴ] ἡ Ἀριστάρχου γραμματική. ἀλλ' εἰ οὕτως ἐρεῖ καὶ ἀντιστρέψει, καὶ εἴποι Ἀρίσταρχος γραμματικῆς Ἀρίσταρχος, ⟨ὅπερ ἄτοπον⟩. φημὶ τοίνυν ὅτι τὸ μὲν γένος τοῦτ' ἔστι τὴν ἐπιστήμην τῶν πρός τι εἶναι· ἔστιν γὰρ ἐπιστητοῦ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν· τὸ δὲ καθ' ἕκαστον τοῦτ' ἔστι τὴν γραμματικὴν Ἀριστάρχου οὐκ ἔτι τῶν πρός τι εἶναι, ἀλλὰ ποιότητος, ἐπειδὴ καὶ ὁ Ἀρίσταρχος καὶ ἕκαστος τῶν ἑκάστην ἐχόντων τῶν ἄλλων ἐπιστημῶν οὐκ ἀπὸ τῆς γενικῆς ἐπιστήμης εἰσὶ παρωνομασμένοι, ἀλλ' ἐκ τῆς καθ' ἕκαστα, Ἀρίσταρχος μὲν ἀπὸ τῆς ἑαυτοῦ γραμματικῆς, Ἀριστόξενος δὲ ἀπὸ τῆς ἑαυτοῦ μουσικῆς, καὶ οἱ λοιποὶ δὲ ὁμοίως ἀπὸ τῶν οἰκείων ἐπιστημῶν, αἳ τῶν καθ' ἕκαστά εἰσιν.

Ἐ. Ἀλλὰ μίαν μὲν ταύτην ἀποδέδωκας λύσιν· ἔφης δὲ εἶναι δύο· ὥστε λέγε καὶ τὴν ἑτέραν.

Ἀ. Φημὶ τοίνυν ὡς εἰ μή τις ταύτην προσίεται, ἀλλ' ἐκείνην γε λαμβανέτω, ὅτι οὐδὲν κωλύει ἐν δυσὶ κατηγορίαις τὸ αὐτὸ τετάχθαι. οὐ γὰρ τοῦτο ἄτοπον, ἀλλ' εἰ κατὰ τὸ αὐτὸ † καὶ εἰ αὐτό τι εἰς δύο γένη κατηγοριῶν διάφορα ἀναφέροιτο καὶ μὴ ὑπάλληλα, ἐπειδὴ κατὰ ἄλλο καὶ ἄλλο σημαινόμενον οὐδεμία ἐστὶν ἀτοπία. ἐπεὶ καὶ ὁ Σωκράτης πολλὰ ἐπιδειχθήσεται πεπονθώς· καθὸ μὲν γὰρ ἄνθρωπος οὐσία ἐστί, καθὸ δὲ τρί-

2 post διενήνοχε XVIII fere litt. oblitt. M: lac. Zp; conicias τὸ γένος τοῦ εἴδους καὶ τῶν 7 ἂν εἶεν supplevi: VI litt. oblitt. M: lac. Z: om. p οἷον inserui: om. Mp 8 Ἀριστοξένου p: Ἀριστοξένους M καὶ ἡ Zp: oblitt. M 9 οἱ γὰρ κατ' supplevi: πρός τι—κατ' oblitt. M: πρός τι ante lac. Zp 10 ἦσαν scripsi: ἦν M: om. p ἃς p: ἣν M 10. 11 παρονομ. ἢ ὁπωσοῦν] XX fere litt. oblitt. M: ἢ ὁπωσοῦν supplevi: παρονομάζονται ante lac. Zp 11 post φησιν XXX fere litt. oblitt. M: lac. Zp; supplendum est ἀλλ' οὐ πρὸς τὰς καθ' ἕκαστα ἀναφέρει τὸ 12 πρός τι εἶναι ἀλλὰ πρὸς M: om. p 13. 14 —μματικὴ ἐλέγετο—Ἀριστάρχου Zp: XXXVIII fere litt. oblitt. M, unde ἡ γραμματικὴ post οὐχὶ inclusi 14 εἴποι p: εἴπει M 14. 15 Ἀρίσταρχος Zp: oblitt. M 15 ὅπερ ἄτοπον supplevi: oblitt. M: lac. Z: om. p 16 πρός τι εἶναι Zp: oblitt. M 18 an ποιότητα? 19 ἕκαστος p: ἕκαστον M 19. 20 ἐπιστημῶν M: ἐπιστήμην p 20 παρωνομασμένοι p: παρωνομασμέναι M 26 προσείεται M^1 (corr. m^3) 28 καὶ εἰ αὐτό (?) τι paene oblitt. M: lac. Zp; corrigas σημαινόμενόν τι 29 ὑπάλληλα M: ἐπ' ἄλληλα p ἐπειδὴ κατὰ ἄλλο M: ἐπειδὴ τὰ αὐτὰ κατά τι ἄλλο p 30 ἐστιν M: om. p

πῆχυς, εἰ τύχοι, ποσόν, καθὸ δὲ πατὴρ ἢ υἱὸς τῶν πρός τι, καθὸ δὲ σώφρων ποιός, καὶ οὕτως εἰς τὰς ἄλλας κατηγορίας κατά τινας διαφορὰς ἀνάγεται. εἰ οὖν ἓν ὢν εὑρίσκεται ὁ Σωκράτης κατ᾽ ἄλλο καὶ ἄλλο, τί ἄτοπον, εἰ καὶ ἡ ἕξις κατ᾽ ἄλλο μὲν ἂν ῥηθείη πρός τι, κατ᾽ ἄλλο δὲ ποιότης;

[Περὶ τοῦ ποιεῖν καὶ πάσχειν]

᾽Ε. ᾽Αλλὰ τέτταρας μὲν ἤδη κατηγορίας διελήλυθεν, αἵπερ ἐδόκουν ἀπορίας δεῖσθαι πλείονος, αἱ λοιπαὶ δὲ τίνες εἰσίν;

᾽Α. Ἡ περὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν ἥ τε τοῦ κεῖσθαι καὶ ἡ τοῦ ποτὲ καὶ ἡ τοῦ ποῦ καὶ ἡ τοῦ ἔχειν.

᾽Ε. Τί οὖν; αἱ ἓξ αὗται οὐκ ἐπιδέχονται λόγους;

᾽Α. Καὶ αὗται πολλοὺς ἐπιδέχονται μέν, ἀλλὰ πρὸς ἀρχομένους μανθάνειν ἄρτι ἀπόχρη τὸ εἰδέναι, ὅσα ⟨ἐν ἀρχῇ⟩ ποιεῖ, ἵνα ἔχωσιν ἕκαστον τῶν ἁπλῶν εἰς ταύτας ἀνάγειν, ἐπεὶ περί γε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν ἱκανῶς ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς ἐπραγματεύσατο, περὶ δὲ τοῦ ποτέ, ὅπερ χρόνον σημαίνει, καὶ περὶ τοῦ ποῦ ἐν τῇ Φυσικῇ ἀκροάσει, ἔνθα περὶ τόπου καὶ χρόνου ἐπραγματεύσατο, καὶ περὶ πασῶν δὲ τούτων ἐν τοῖς Μετὰ τὰ φυσικά. νυνὶ δὲ δήλου ὄντος ὅτι τὸ μὲν ποιεῖν καὶ τὸ καίειν ἐνέργειαν δηλοῖ, τὸ δὲ θερμαίνεσθαι καὶ ψύχεσθαι πάθος, φησὶν ὅτι 51v
καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν τοῦ ἐναντίου ἐστὶν ἐπιδεκτικά. ἐναντίον γὰρ δήπου προφανῶς τὸ θερμαίνειν τοῦ ψύχειν καὶ τὸ θερμαίνεσθαι τοῦ ψύχεσθαι καὶ τὸ ἥδεσθαι τοῦ λυπεῖσθαι.

᾽Ε. Μόνη οὖν ἐναντιότης αὐτοῖς παρακολουθεῖ;

᾽Α. Οὐ μόνη ἀλλὰ καὶ τὸ μᾶλλον καὶ ἧττον· λέγομεν γὰρ μᾶλλον θερμαίνειν καὶ ἧττον, ὁμοίως δὲ καὶ θερμαίνεσθαι μᾶλλον καὶ ἧττον καὶ λυπεῖν καὶ λυπεῖσθαι, ὡς εἶναι καὶ ποιεῖν ἧττον καὶ μᾶλλον καὶ πάσχειν ὁμοίως.

᾽Ε. Τοσαῦτα μὲν περὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν εἴρηται ὑπὸ ᾽Αριστοτέλους. περὶ δὲ τοῦ κεῖσθαι τί ἂν εἴποις;

᾽Α. Ὅτι ἡ μὲν θέσις τῶν πρός τι δέδεικται ἤδη, τὸ δὲ κεῖσθαι οὐκ ἔτι, ἀλλὰ παρώνυμον· ἄλλης γὰρ κατηγορίας, τῆς τοῦ κεῖσθαι.

᾽Ε. Σαφέστερον εἰπέ, ὅ τι ποτὲ λέγεις.

᾽Α. Ἡ μὲν θέσις, ἐπεὶ τινός ἐστι θέσις, τῶν πρός τι ἂν εἴη· διὸ καὶ ἡ ἀνάκλισις καὶ ἡ στάσις καὶ ἡ καθέδρα θέσεις τινὲς οὖσαι πρός τι ἂν εἶεν

2 κατά τινας M: om. p 3 ὢν M: ὂν post ἄλλο inseras εἰς ἄλλην καὶ ἄλλην κατηγορίαν ἀναγόμενος 4 ἂν M: om. p post ποιότης add. τέλος τοῦ ποιοῦ mrg. M 5 tit. inclusi 11 πολλοὺς paene oblitt. M: lac. Zp 12 ἐν ἀρχῇ ex Simpl. supplevi: VI litt. oblitt. M: lac. Zp ποιεῖ ἵνα ἔχωσιν in lac. om. Zp 14 Περὶ γ. καὶ φθ.] cf. A 7–9. 323b1sq. τοῖς—ἐπραγ— Zp: oblitt. M 15 ἐν τῇ φυσικῇ Zp: oblitt. M; cf. Phys. Δ 1. 208a26sq. 17 Μετὰ τὰ φ.] cf. Δ 8. 1017b10sq. νυνὶ M: νῦν p τὸ μὲν ποιεῖν καὶ τὸ καίειν M: τὸ μὲν ποιεῖν κατὰ τὸ καίειν Zp: corrigas τὸ θερμαίνειν καὶ τὸ ψύχειν 21 τὸ ἥδεσθαι Zp: τοῦ ἥδεσθαι M 23. 24 λέγομεν—μᾶλλον καὶ ἧττον M: om. p 32 τῶν M: τῆς p

καὶ αὗται. τὰ δὲ ἀπὸ τούτων παρωνύμως λεγόμενα οὐκ ἂν εἴη πρός τι, λέγω δὲ τό τε ἀνακεῖσθαι καὶ τὸ ἑστάναι καὶ τὸ καθῆσθαι· ταῦτα γὰρ οὐκ ἔστιν πρός τι (διὸ οὐδὲ θέσεις εἰσίν), ἀλλὰ ἀπὸ τῶν θέσεων παρωνύμως λεγόμενα. τοιαῦτα δὲ ὄντα καὶ ἐν ἑτέρῳ γένει ἐστίν, ἐν τῷ τοῦ κεῖσθαι.

'Ε. Ὑπολείπονται δὲ κατηγορίαι ἔτι τρεῖς· ἥ τε τοῦ ποτὲ καὶ ἡ τοῦ ποῦ καὶ ἡ τοῦ ἔχειν. καὶ ὅτι μὲν ὁ Ἀριστοτέλης οὐδὲν περὶ αὐτῶν εἴρηκεν, δῆλον· σὺ δὲ τί ἂν εἴποις περὶ τούτων;

'Α. Τί ἄλλο ἢ ὅτι ὥσπερ τὸ πρός τι οὐκ ἔστι τῶν προηγουμένως θεωρουμένων πραγμάτων ἀλλὰ τῶν ἐπιγινομένων τούτοις, ὡς ἂν παραφυάδι ἐοικός, οὕτως ἐπὶ ὑποκειμένων τὸ ποσὸν καὶ τὸ ποιὸν ἐπισυνίσταται τὸ ποτὲ καὶ τὸ ποῦ. τόπου γὰρ καὶ χρόνου μὴ ὄντος, ἅπερ ἐστὶ ποσά, οὐδὲ τὸ ποῦ οὐδὲ τὸ ποτὲ ἂν εἴη. οὐ μέντοι ἐστὶν ὁ χρόνος ποτέ, οὔτε μὴν ὁ τόπος ποῦ, οὐδὲ τὸ ποῦ τόπος, ⟨ἀλλὰ⟩ προϋπάρχοντος τόπου, ἔπειτα δὲ....

2 καθεῖσθαι M 6 ἔτι κατηγορίαι colloc. p 9 τὸ πρός τι scripsi: τῶν πρός τι M: τὰ πρός τι p 11 ἐοικὼς (sic) M: ἔοικεν p ἐπὶ ὑποκειμένων τὸ ποσὸν καὶ τὸ ποιὸν M: ἐπὶ ὑποκειμένων τῷ ποσῷ καὶ τῷ ποιῷ p: scribas ἐπὶ ὑποκειμένῳ τῷ ποσῷ (cf. ἅπερ ἐστὶ ποσά (v. 11), Simpl. f. 76r8 τοῦ γὰρ ποσοῦ ὑποκειμένου ... ἐπισυνίσταται τὸ ποῦ καὶ τὸ ποτέ φασιν (sc. Πορφύριος καὶ Ἰάμβλιχος) 12 μὴ ὄντος Zp: oblitter. M 13 μέντοι — μὴν ὁ τόπος Zp: oblitter. M οὔτε μὴν ὁ τόπος ποῦ eicias 14 τόπος ⟨ἀλλὰ⟩ προϋπάρχοντος τόπου, ἔπειτα δὲ scripsi: τόπος. Περὶ τοῦ ποῦ. Τί ἐστι τὸ ποῦ, προϋπάρχοντος τόπου, ἔπειτα δὲ Z: oblitter. M: om. p, sed illa Περὶ τοῦ ποῦ et Τί ἐστι τὸ ποῦ in codice M exarata non fuisse, vel inde apparet, quod ultimus versus XLVI fere litteras complectens incipit ab οὐδὲ τὸ ποῦ; praeterea vide Simpl. f. 76r8 οὔτε δὲ τὸ ποῦ ὁ τόπος ἐστὶν οὔτε τὸ ποτὲ ὁ χρόνος, ἀλλὰ προϋπάρχοντος τόπου καὶ χρόνου, εἶτα ἑτέρου ἐν τούτῳ ὄντος ποῦ εἶναι λέγεται τὸ ἐν τόπῳ ὂν καὶ ποτὲ τὸ ἐν χρόνῳ.

INDICES

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis

II INDEX TERMINORUM BOETHII

III INDEX NOMINUM

CORRIGENDA ET ADDENDA

p. VIII not. 3 immo Suppl. II
p. IX not. 1 immo Suppl. III
p. L de Georgio Scholario erravisse me apparet ex codice Vatic. 2223 [in fronte IO. CAR. de SALVIATIS] R. Reitzensteinii opera nuper in lucem tracto; is exhhibet f. 1—4 epistolam ad Constantinum Palaeologum scriptam (Τῷ ὑψηλοτάτῳ καὶ πανευτυχεστάτῳ δεσπότῃ κυρίῳ κωνσταντίνῳ τῷ παλαιολόγῳ inc. εἴπερ ἄλλῳ τινὶ καὶ σοὶ τὰς ἀπαρχὰς κ. τ. λ. expl. ὁ δοῦλος τῆς βασιλείας σου γεώργιος ὁ σχολάριος) f. 5—68 γεωργίου τοῦ σχολαρίου προλεγομένων εἰς τὴν λογικὴν καὶ εἰς τὴν πορφυρίου εἰσαγωγὴν ἐκ διαφόρων συλλεγέντα βιβλίων μετὰ ἰδίων ἐπιστασιῶν. f. 69—146 γεωργίου τοῦ σχολαρίου εἰς τὸ βιβλίον τῶν ἀριστοτέλους κατηγοριῶν ἐξήγησις. f. 147—212 γεωργίου τοῦ σχολαρίου εἰς τὸ περὶ ἑρμηνείας βιβλίον ἐξήγησις
p. LVI Apographis adnumerandus est cod. Vatic. 2169 chart. saec. XV f. 1—46, quem cognatum cum Marciano, sed fide inferiorem illo esse specimen a R. Reitzensteinio datum docet
p. 4, 18 l. γενικωτάτου
p. 5, 12 not. adde καί, ὡς ἔφαμεν — γένος om. Boeth.
p. 8,5 not. adde τὰ γένη C
p. 9,6 scr. πως
p. 16,9 not. scr. C Amm.
p. 25,11 not. dele *solis*
p. 40,3. 4 l. individuis
p. 58,6 l. οὐ μὴν
p. 63,21 not. adde: μὴ] corrigas μήτε (cf. p. 117,27)
p. 64,5 l. ἀποδιδόντος
p. 69,8 not. adde: an ὀνόματα ⟨τὰ⟩?
p. 84,2 l. ὥσπερ
p. 92,18 l. οὐσιῶν
p. 93,2 l. οὐσίᾳ
p. 94,26 l. πρόσεστι
p. 100,13 post ποσοῦ pone comma
p. 101,24 l. ἐστι
p. 102,15 not. adde: corrigas μήκους οὔσης ἁπλατοῦς
p. 104,13 not. adde: corrigas ἀλληλούχων
p. 118,26 l. συναναιρεῖται
p. 120,31 l. ἐπιστήμη
p. 126,12 l. ἄν
p. 126,24 ante Ἆρα adde Ἐ.
p. 126,25 — 128,1 Ἐ. et Ἀ. inter se commutanda sunt
p. 128,11 ante ἀλλ' εἰ vicem significa addito Ἀ.